Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vls-af

*Ἀνώνυμος Ἀριστοτέλους Σοφιστικῶν Ἐλέγχων* · Sophistical Refutations Anonymous

# Commentary-Aristotle in Greek

*Ὑπόμνημα εἰς τὸν Ἀριστοτέλη Ἑλληνιστί*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Aristotelian

**ΠΑΡΑΦΡΑΣΙΣ ΕΙΣ ΤΗΝ ΣΟΦΙΣΤΙΚΗΝ. Οὐκ αὐτόθεν τοῖς φιλοσοφοῦσι τὸ περὶ τὴν σοφιστικὴν πραγματεύεσθαι, ὅτι μηδὲ προύργου τοῖς θεωροῦσι τὸ ἀληθὲς ἡ τοῦ ψεύδους εὕρεσις καὶ κατάληψις, ἀλλ' ὥσπερ τοῖς κατὰ τὴν ἰατρικὴν οὐκ ἀπέχρησε περὶ ὑγείας καὶ ὑγιεινῶν εἰποῦσι παραλιπεῖν ὅ τι νόσος καὶ ἀφ' ὧν αἰτίων πρόεισιν (οὐ γὰρ ἀσφαλῶς εἶχε πολλῶν πρὸ τῶν ὠφελούντων διὰ τὴν ἄγνοιαν περιπιπτόντων τοῖς χείροσιν ὡς μᾶλλον προβεβλημένοις καὶ μᾶλλον ἀπαντῶσι κατὰ τὴν αἴσθησιν· ἔστι δ' ἃ καὶ τῶν δηλητηρίων καὶ φθοροποιῶν ἐπὶ τὸ εὖ τῇ τέχνῃ προσείληπται), οὕτω κἀνταῦθα.**

1 τῷ γὰρ τὴν τῶν ὄντων ἐπιστήμην ζητοῦντι μᾶλλον ἂν τοῦ ἀληθοῦς ἡ τεῦξις καὶ ἔγγιον, καθ' ὅσον ἂν ἐκποδὼν ἀπάτη καὶ ψεῦδος γένοιτο. τοῦτο δὲ τῷ εἰδέναι· λάθοι γὰρ ἄν τις ἀγνοῶν ἀντὶ τοῦ ἀληθοῦς τῆς ἀπάτης ἐχόμενος. καὶ δὴ τούτοις ἂν καὶ τοὺς ἐπ' αὐτὸν χρωμένους ὡς εἰδὼς ἀποκρούσαιτο, τό τε περὶ πάντα γεγυμνάσθαι οὐκ ἄχρηστόν ἐστιν.

2 ἐπεὶ δὲ σοφίαν μὲν ἐπιστήμην τῆς ἐν τοῖς οὖσιν ἀληθείας τιθέμεθα, τὸ δὲ δι' ἀπόδειξιν, ἀπόδειξις δὲ συλλογισμὸς τοιόσδε τις, εἴη ἂν δήπου καὶ ἔλεγχος ἀληθὴς ὁ τῇ ἀποδείξει σύστοιχος καὶ ἑπόμενος καὶ βοηθῶν κἀκ τῶν ἀντικειμένων τὸ αὐτὸ αὐτῇ περαινόμενος. οὗτος δὲ ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνὸς καὶ τἄλλα ἃ δὴ προσδιοριζόμεθα, ἣν καὶ εἰς ἀδύνατον ἀπαγωγὴν ἐν ἑτέροις ἐλέγομεν. πρὸς γὰρ τὸν ἐνιστάμενον ἐπὶ τὸ ἀποδεικτικῶς συναγόμενον τὸ τοῦ ἀληθοῦς συμπεράσματος λαμβάνοντες ἀντικείμενον καὶ μίαν τῶν κειμένων προτάσεων συνήγομέν τι ἄτοπον καὶ ἀδύνατον, ἐξ ὧν αὐτὸς ἔδωκεν, ὡς ἐντεῦθεν τὸ πρότερον συνεισάγεσθαι καὶ τὰς ἀποδείξεις ἐρρῶσθαι. ὅσαι δὲ κατ' εὐθεῖαν ἀποδείξεις, τοσαῦται καὶ εἰς ἀδύνατον. εἰ δ' αὗται ἄπειροι τῷ ἀεὶ ἐπιστήμας γίνεσθαι, εἰ τὸ πᾶν ἀίδιον, κἀκεῖναι. ὥστε οὐκ ἂν εἴη πραγματεία περὶ τῶν ἀληθινῶν ἐλέγχων· δεήσει γὰρ πρότερον τῶν ἐπιστημῶν ἁπάσας ἔχειν, ὡς καὶ προϊοῦσι φανήσεται. Περὶ μέντοι τῶν σοφιστικῶν καὶ τῶν φαινομένων μὲν ἐλέγχων, ὄντων δὲ παραλογισμῶν καὶ οὐκ ἐλέγχων, ἐπεὶ κατ' εἴδη πεπέρανται καὶ μίαν ἐπιστήμην τὴν διαλεκτικὴν ὑποδύονται, λέγομεν ἀρξάμενοι κατὰ φύσιν ἀπὸ τῶν πρώτων. καίτοι γε ἄλλως δήπου καὶ τὸ ψεῦδος ἄπειρον· ἀπείρως γὰρ ὁ προστυχὼν ἀπατηθήσεται, καὶ εἰς ὅσα ἀληθεύομεν, καὶ ψευσαίμεθα· ἐναντία γάρ, ἴσα δὲ ταυτὶ καὶ ἀντίρροπα.

3 ὥστε οὐδὲ περὶ αὐτῶν πάντων εἰπεῖν προεθέμεθα ἀλλὰ περὶ μόνων ὧν προειρήκειμεν τῶν διαλεκτικῶν. ὅτι μὲν οὖν οἱ μέν εἰσι συλλογισμοί, οἱ δὲ οὐκ ὄντες δοκοῦσι, φανερόν. ὥσπερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ καὶ ἐπὶ τῶν ἄλλων τοῦτο γίνεται διά τινος ὁμοιότητος, καὶ ἐπὶ τῶν λόγων ὡσαύτως ἔχει. καὶ γὰρ τὴν ἕξιν οἱ μὲν ἔχουσιν εὖ, οἱ δὲ φαίνονται φυλετικῶς φυσήσαντες καὶ ἐπισκευάσαντες ἑαυτούς, καὶ καλοὶ οἱ μὲν διὰ κάλλος, οἱ δὲ φαίνονται κομμώσαντες ἑαυτούς. ἐπί τε τῶν ἀψύχων ὡσαύτως· καὶ γὰρ τούτων τὰ μὲν ἄργυρος τὰ δὲ χρυσός ἐστιν ἀληθῶς, τὰ δὲ ἔστι μὲν οὔ, φαίνεται δὲ κατὰ τὴν αἴσθησιν, οἷον τὰ μὲν λιθαργύρινα καὶ τὰ κασσιτέρινα ἀργυρᾶ, τὰ δὲ χολοβάφινα χρυσᾶ. τὸν αὐτὸν δὴ τρόπον καὶ συλλογισμὸς καὶ ἔλεγχος ὁ μὲν ἔστιν, ὁ δὲ ἔστι μὲν οὔ, φαίνεται δὲ διὰ τὴν ἀπειρίαν τῶν προσδιαλεγομένων· οἱ γὰρ ἄπειροι ὥσπερ ἀπέχοντες πόρρωθεν θεωροῦσιν. ὁ μὲν γὰρ συλλογισμός, εἴπερ καὶ μέμνησθε διορισαμένων τοῦτον ἡμῶν, λόγος ἦν, ἐν ᾧ τεθέντων τινῶν εἴτ᾽ οὖν ὁμολογηθέντων (ταῦτα δὲ αἱ προτάσεις) ἕτερόν τι τῶν κειμένων (τοῦτο δὲ τὸ συμπέρασμα) συνέβαινε τῷ ταῦτα εἶναι, τὸ δὲ τῷ ταῦτα εἶναι διὰ τὸ μηθὲν ἔξωθεν δεῖσθαι πρὸς τὸ συναγαγεῖν τὸ συμπέρασμα· ἔλεγχος δὲ ὡς ἀνωτέρω συλλογισμὸς μετ᾽ ἀντιφάσεως τοῦ συμ περάσματος.

4 οἱ δὲ σοφισταὶ τοῦτο ποιοῦσι μὲν οὔ (οὔτε γὰρ ἀληθῶς συλλογίσαιντ᾽ ἂν οὔτ᾽ ἐλέγξαιεν), δοκοῦσι δὲ διὰ πολλὰς αἰτίας, ὧν εἷς ἐστι τόπος αὐτοῖς εὐφυέστατος καὶ δημοσιώτατος ὁ διὰ τῶν ὀνομάτων. ἐπεὶ γὰρ οὐκ ἔστι διαλεγομένους φέρειν αὐτὰ καθ᾽ αὑτὰ τὰ πράγματα, ἀλλὰ τοῖς ὀνόμασιν ἀντὶ τῶν πραγμάτων χρώμεθα συμβόλοις, τὸ συμβαῖνον ἐπὶ τῶν ὀνομάτων καὶ ἐπὶ τῶν πραγμάτων ἡγούμεθα συμβαίνειν, καθάπερ ἐπὶ τῶν ψήφων τοῖς λογιζομένοις. τὸ δὲ οὐκ ἔστιν ὅμοιον. τὰ μὲν γὰρ ὀνόματα πεπέρανται καὶ τὸ τῶν λόγων πλῆθος, εἴπερ καὶ ἐξ ἀρχῶν πεπερασμένων τῶν εἴκοσι τεσσάρων στοιχείων, τὰ δὲ πράγματα διὰ τὸ ἀεὶ γίνεσθαι τῷ ἀριθμῷ ἄπειρα. ἀνάγκη οὖν πλείω τῶν πραγμάτων τὸν αὐτὸν λόγον καὶ τὸ ἓν ὄνομα σημαίνειν. ὥσπερ οὖν ἐκεῖ οἱ μὴ δεινοὶ τὰς ψήφους φέρειν μηδὲ ψηφολογεῖν ἐπαΐοντες αὐτοί τε ὑπ᾽ αὐτῶν καὶ ὑπὸ τῶν ἐπιστημόνων καὶ ψηφηφορικῶν παρακρούονται (λάθοι γὰρ ἂν τῷ τάχει τῆς μεταθέσεως, εἰ τοῖς δακτύλοις τοὺς ἀριθμοὺς ἐπισημαίνοι ὁ τῆς λογιστικῆς ἔμπειρος δανειστὴς ἀπατήσας καὶ ζημιώσας τὸν λαμβάνοντα ἀμαθῶς ὁρῶντα καὶ προσομολογοῦντα), τὸν αὐτὸν δήπου τρόπον καὶ ἐπὶ τῶν λόγων οἱ τῶν ὀνομάτων τῆς δυνάμεως ἄπειροι καὶ τοῦ ποσαχῶς ἕκαστον λέγεται παραλογίζονται καὶ αὐτοὶ διαλεγόμενοι καὶ ἄλλων ἀκούοντες.

5 διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν καὶ τὰς λεχθησομένας ἔστι καὶ συλλογισμὸς καὶ ἔλεγχος φαινόμενος μὲν οὐκ ὢν δέ. ἐπεὶ δ᾽ ἐστὶ τισὶ μὲν πρὸ ἔργου δοκεῖν μᾶλλον εἶναι σοφοῖς ἢ εἶναι καὶ μὴ δοκεῖν (ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δὲ οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ᾽ οὐκ οὔσης, οἷον ἐν τοῖς ἀρχαίοις Γοργίας Ἱππίας Πρωταγόρας καὶ Πρόδικος), δῆλον ὅτι ἀναγκαῖον τούτοις καὶ τὸ τοῦ σοφοῦ ἔργον δοκεῖν ποιεῖν μᾶλλον ἢ ποιεῖν καὶ μὴ δοκεῖν. οὐ μέντοι γε κατὰ τὰ αὐτὰ καὶ οἱ φιλοσοφοῦντες ὀρθῶς, ἀλλ᾽ ὡς πρὸς μόνον τὸ ἀληθὲς ὁρῶντες ἄνευ ἀπάτης τὰς πρὸς ἀλλήλους διαλέξεις καὶ συνουσίας ποιήσονται. ἔστι γὰρ ὡς εἰπεῖν ἓν πρὸς ἓν ἔργον τοῦ ἐπιστημονικῶς διαλεγομένου καὶ περὶ ἕκαστον ἀκριβῶς εἰδότος· ἐπεὶ γὰρ ἢ ἐρωτᾷ ἢ ἀποκρίνεται, καὶ ἀμφότερα ὀρθῶς, δεήσει ἐρωτῶντα μὲν οἷς ἐρωτᾷ ἀψευδεῖν καὶ περὶ ὧν ὡς εἰδὼς προτείνεται, ἀποκρινόμενον δὲ δύνασθαι ἐμφανίζειν τὸν ψευδόμενον. ταῦτα δέ ἐστι τὸ μὲν ἐν τῷ δύνασθαι λαμβάνειν λόγον, τὸ δὲ ἐν τῷ δοῦναι, καὶ τὸ μὲν ὀρθὴ ἐρώτησις τὸ δὲ ὀρθὴ ἀπόκρισις. ἀλλ᾽ ὅπερ ἐλέγομεν, ὡς ἀνάγκη τοῖς βουλομένοις σοφιστεύειν τὸ τῶν εἰρημένων λόγων γένος ζητεῖν· πρὸ ἔργου γάρ ἐστιν· ἡ γὰρ τοιαύτη δύναμις ποιήσει φαίνεσθαι οὗ τυγχάνουσι τὴν προαίρεσιν ἔχοντες. Ὅτι μὲν οὖν ἐστί τι τοιοῦτον λόγων γένος καὶ ὅτι τοιαύτης ἐφίενται δυνάμεως οὓς καλοῦμεν σοφιστάς, δῆλον.

6 πόσα δέ ἐστιν εἴδη τῶν λόγων τῶν σοφιστικῶν καὶ ἐκ πόσων τὸν ἀριθμὸν ἡ δύναμις αὕτη συνέστηκε καὶ ποῖα καὶ πόσα μέρη τυγχάνει τῆς πραγματείας ὄντα καὶ περὶ τῶν ἄλλων τῶν συντελούντων εἰς τὴν τέχνην ταύτην λέγομεν. Ἔστι δὴ συλλογισμῶν εἴδη τέσσαρα, διδασκαλικοὶ οἵπερ καὶ ἀποδεικτικοί, διαλεκτικοί, πειραστικοί, ἐριστικοὶ οἳ καὶ σοφιστικοὶ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φαινόμενοι. τριττὰ δὲ καὶ τὰ πράγματα ἐν οἷς οἱ λόγοι· ἢ γὰρ πάντη ἀληθῆ ἢ πάντη ψευδῆ ἢ μέσα, ἃ δήπου καὶ πιθανὰ καλεῖται καὶ ἔνδοξα. ἔσονται μὲν οὖν οἱ διδασκαλικοὶ καὶ ἀποδεικτικοὶ περὶ τὰ πρῶτα· ἐκ γὰρ τῶν οἰκείων ἀρχῶν ἑκάστου μαθήματος ὡρισμένων καὶ τεταγμένων οὐσῶν καὶ οὐκ ἐκ τῶν τοῦ ἀποκρινομένου δοξῶν συλλογίζονται (δεῖ γὰρ πιστεύειν τὸν μανθάνοντα), καὶ ἐξ αὐτοπίστων καὶ αἰτιωδῶν καὶ ἀναγκαίων προτάσεων συμπεραίνουσι. περὶ δὲ τὰ μέσα καὶ πιθανὰ οἱ διαλεκτικοὶ ἐκ τῶν ἐνδόξων συλλογιζόμενοι καὶ συνακτικοὶ ἀντιφάσεως· ἔνδοξα δὲ ἢ τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς. ἐπὶ τοῖς αὐτοῖς δέ πως καὶ οἱ πειραστικοί, πλὴν ἐκεῖνο διοίσαιεν, ὡς οὐκ ἐκ τῶν κοινῶν δοξῶν ἢ τῶν τοῖς πλείοσιν, ἀλλ’ ἐκ τῶν τοῦ ἀποκρινομένου καὶ ἀφ’ ὧν ἀναγκαῖον εἰδέναι τῷ προσποιουμένῳ ἔχειν τήνδε τὴν ἐπιστήμην, ἐφ’ ἣν ἡ πεῖρα προσάγεται· ὃν δὲ τρόπον, εἴρηται ἐν ἑτέ ροις.

7 ὁ γὰρ διαλεκτικὸς ἕως μὲν ἐπὶ τῶν κοινῶν ἵσταται λόγων καὶ ὑπολήψεων, αὐτὸ τοῦτο ὃ λέγεται καὶ ἔστιν· ὅταν δὲ πρός τινα τέχνην ἀποτεμόμενος ἔλθῃ, οἷον γεωμετρίαν ἢ μουσικὴν ἢ γραμματικὴν ἢ ἑτέραν τὴν ὁποιανοῦν (δύναμις γὰρ αὐτῷ περὶ παντὸς τοῦ προτεθέντος ἐπιχειρεῖν) καὶ πειρῷτο τὸν κατ’ αὐτὴν ἐλέγχειν πραγματευόμενον καὶ δεικνύειν ἔκ τινων τῆς τέχνης λημμάτων καὶ οἷς αὐτὸς ἔθετο μὴ ἐπαΐοντα καὶ περιΐσταται προσεπηρεάζων, αὐτός τε ἂν εἴη πειραστικὸς ἥ τε πειραστικὴ διαλεκτική τις. ἐριστικοὶ δὲ καὶ φαινόμενοι ἔλεγχοι καὶ συλλογισμοὶ περὶ τὰ ψευδῆ· καὶ πῶς μὲν ταὐτό, εἶεν δ’ ἂν καὶ διαφέροντες, ὡς ἐριστικοὺς μὲν καὶ σοφιστικοὺς τοὺς τὸ σχῆμα ὑγιεῖς καὶ τὸ εἶδος σώζοντας τὸ συλλογιστικὸν οἴεσθαι, περὶ δὲ τὴν ὕλην ἁμαρτάνοντας, φαινομένους δὲ τὸ ἔμπαλιν ὑγιαίνοντας μὲν τὴν ὕλην, ἐκκλίνοντας δὲ τὴν παράδοσιν ὡς συνισταμένους ἢ ἐκ μόνων μερικῶν ἢ καὶ ἀποφατικῶν, ἢ καὶ ὁμοιοσχήμονας ἐν δευτέρῳ σχήματι τὰς προτάσεις λαμβάνοντας. τοῦ προτέρου παράδειγμα· ὁ χιτὼν οὗτος ἀνδρεῖος, ὁ ἀνδρεῖος ἀνδρείαν ἔχει, οὗτος ὁ χιτὼν ἄρα ἀνδρείαν ἔχει. τοῦ δευτέρου· ὁ ἄνθρωπος ζῶον, ὁ ἵππος ζῶον, ὁ ἄνθρωπος ἄρα ἵππος. διαφέροι δ’ ἂν καὶ συλλογισμὸς καὶ ἔλεγχος πρῶτον τῷ κοινῷ καὶ ἰδίῳ· ὁ γὰρ ἔλεγχος συλλογισμός τις· δεύτερον τῷ ἀνομοίους ἐξ ἀνάγκης τὸν ἔλεγχον ἀεὶ τὰς προ τάσεις ἔχειν, τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ, καὶ τὸ οἰκεῖον συμπέρασμα ψευδὲς ἀεί· καὶ πρὸς τούτοις τῷ περιϊστᾶν εἰς ἀντίφασιν ἐπί τε προηγησαμένῃ ἀποδείξει συνίστασθαι καὶ πρός τινα· πρὸς γὰρ τὸν ἀναιροῦντα τὸ συμπέρασμα· ὧν οὐδὲν ὡρισμένως ὁ ἁπλῶς ἕξει συλλογισμός.

8 περὶ μὲν οὖν τῶν ἀποδεικτικῶν λόγων καὶ συλλογισμῶν ἐν τοῖς δευτέροις εἴρηται τῶν Ἀναλυτικῶν, περὶ δὲ τῶν διαλεκτικῶν καὶ πειραστικῶν ἐν τοῖς Τοπικοῖς, περὶ δὲ τῶν ἀγωνιστικῶν καὶ ἐριστικῶν νῦν εἰπεῖν ἐπιβάλλομεν. εἰς τρία δὲ καὶ τὴν ἅπασαν πραγματείαν διείλομεν, εἴς τε τὴν γένεσιν τῶν σοφισμάτων καὶ τὴν τῶν εἰδῶν καὶ τρόπων τῆς μεθόδου διδασκαλίαν καὶ ἔκθεσιν καὶ ἐξ ὅσων ὡς ἐκ στοιχείων ἀπάτη γίνεται, καὶ ἔτι ὅπως δεῖ ἐρωτῶντας λήσειν τοὺς ἀπατήσοντας, καὶ τρίτον ὅθεν ἀσφαλῶς εἴη ἀποκρίνασθαι ἐκκλίνοντας τὰς σοφιστικὰς ἐνοχλήσεις· τοῦτο δ’ ἂν εἴη καὶ λύσις ὀρθῶς γινόμενον τῶν σοφιστικῶς προβληθέντων. τοσαῦτα προδιαστείλαντες ἤδη λέγομεν. Πρῶτον δὴ ληπτέον πόσων στοχάζονται οἱ ἐν τοῖς διαλόγοις ἀγωνιζόμενοι καὶ διαφιλονεικοῦντες. ἔστι δὲ πέντε ταῦτα τὸν ἀριθμόν, ἔλεγχος, ψεῦδος, παράδοξον, σολοικισμός, πέμπτον τὸ ποιῆσαι ἀδολεσχῆσαι τὸν προσδιαλεγόμενον· τὸ δέ ἐστι τὸ πολλάκις ἀναγκάζεσθαι τὰ αὐτὰ λέγειν. ὃ δὲ διὰ πάσης τῆς πραγματείας ἰσχυριζόμεθα, καὶ νῦν προδιαστείλασθαι ἀναγκαῖον, ὡς οὐδὲν κατ’ ἀλήθειαν τούτων ὃ λέγεται καὶ ἔστιν· οὔτε γὰρ ὁ ἔλεγχος ἔλεγχος ἢ τὸ ψεῦδος ψεῦδος καὶ ἐπὶ τῶν ἄλλων οὕτως, ἀλλ’ ἢ τῷ φαίνεσθαι καὶ δοκεῖν τούτων ἕκαστον.

9 μάλιστα μὲν γὰρ προαιροῦνται φαίνεσθαι ἐλέγχοντες, δεύτερον ψευδόμενόν τι δεικνύναι, τρίτον εἰς παράδοξον ἄγειν, τέταρτον σολοικίζειν ποιεῖν· σολοικισμὸς δὲ ἐνταῦθα οὐχ ὁ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν τοῦ λόγου σύνταξιν καὶ παρὰ γραμματικοῖς, ἀλλὰ τὸ ποιῆσαι τῇ λέξει βαρβαρίζειν ἐκ τοῦ λόγου τὸν ἀποκρινόμενον κατὰ μεταλλαγὴν γένους ἢ πτώσεως· καὶ τελευταῖον τὸ πλεονάκις τὰ αὐτὰ λέγειν καὶ ἀδολεσχεῖν. Εἴδη δὲ τοῦ μὲν ἐλέγχειν δύο· οἱ μὲν γάρ εἰσι κατὰ τὴν λέξιν, οἱ δ’ ἔξω τῆς λέξεως. ἔστι δὲ τὰ κατὰ τὴν λέξιν ἐμποιοῦντα τὴν φαντασίαν ἓξ τὸν ἀριθμόν· ταῦτα δὲ ὁμωνυμία, ἀμφιβολία, σύνθεσις, διαίρεσις, προσῳδία, σχῆμα λέξεως. Εἰσὶ δὲ παρὰ μὲν τὴν ὁμωνυμίαν οἱ τοιοίδε τῶν λόγων. ἆρ’ οὐχ’ οἱ ἐπιστάμενοι ἑρμηνεύουσι καὶ ἀποστοματίζουσι; ναί. τί δαί, οἱ ἀποστοματίζοντες τὰ ἀποστοματιζόμενα μανθάνουσι; ναί. οἱ ἐπιστάμενοι ἄρα μανθάνουσιν. ὁ δὲ μανθάνων οἷς μανθάνει ἀνεπιστήμων ἐστίν· οἱ ἐπιστήμονες ἄρα ἀνεπιστήμονες. πάλιν, οὐχὶ οἱ ἀμαθεῖς διδάσκονται; ναί. οἱ διδασκόμενοι οὐ μανθάνουσιν; ναί. οἱ ἀμαθεῖς ἄρα μανθάνουσι καὶ οὐχὶ οἱ ἐπιστήμονες. [15]

10 τὸ γὰρ μανθάνειν ὁμώνυμον, τό τε ξυνιέναι χρώμενον τῇ ἐπιστήμῃ καὶ τὸ λαμβάνειν ἐπιστήμην. πάλιν, οὐχὶ τὰ δέοντα ἀγαθά; οὐχὶ τὰ κακὰ δέοντα; τὰ κακὰ ἄρα ἀγαθά. διττὸν γὰρ τὸ δέον τό τε ἀναγκαῖον καὶ πρός τι χρήσιμον, ὃ πολλάκις συμβαίνει ἐπὶ τῶν κακῶν (ἔστι γάρ τι κακὸν ἀναγκαῖον καὶ πρός τι ὠφέλιμον· πληγαὶ γὰρ καὶ καθείρξεις καὶ ἀπαγωγαὶ καθ’ αὑτὰ ὄντα κακὰ πρὸς τοὺς δεομένους σωφρονισμοῦ δέοντα, αἵ τε τμήσεις καὶ καύσεις ἐπὶ τῶν μὴ ὑγιῶν σωμάτων συμφέρουσαι), καὶ τὰ καθ’ αὑτὰ ἀγαθὰ δέοντά φαμεν, τὴν ἀρετὴν καὶ τὴν σοφίαν. παρὰ τὸ διττὸν οὖν τῆς σημασίας εὗρε χώραν ὁ παραλογισμός. ἔτι, οὐχὶ ὁ κύων ὑλακτεῖ; ναί. τί δαί; ὁ ἰχθὺς οὗτος οὐχὶ κύων; ναί. ὁ ἰχθὺς ἄρα ὑλακτεῖ. ἆρα ὁ καθήμενος ἀνίσταται καὶ ὁ κάμνων ὑγιάζεται; ναί. ἀλλὰ ὁ ἀνιστάμενος ἕστηκε καὶ ὁ ὑγιαζόμενος ὑγιαίνει. ὁ ἄρα καθήμενος καὶ κάμνων ὁ μὲν ἵσταται, ὁ δὲ ὑγιαίνει. παρὰ τὸν χρόνον ἐνταῦθα τὸ σόφισμα. τὸ γὰρ κάμνων ἢ καθήμενος ἢ ὁτιοῦν πάσχων ἢ ποιῶν οὐχ ἓν σημαίνει, ἀλλ’ ὁτὲ μὲν τὸ νῦν κάμνοντα ἢ ὑγιαίνοντα ἢ καθήμενον, ὁτὲ δὲ ὃς ἔκαμνεν ἢ ὑγίαινεν ἢ ἐκάθητο πρότερον· ὡς ἐν ἑκατέρῳ τούτων τὸ αἴτιον τῆς ἀπάτης τὴν μείζω ἔχειν πρότασιν. τὸ γὰρ τὸν ἀνιστάμενον ἑστηκέναι δύο σημαίνει, ὁμοίως καὶ τὸ τὸν ὑγιαζόμενον ὑγιαίνειν, ἢ ὅτι, ὅτε ἵστασθαι ἤρξατο ἢ ὑγιάζεσθαι, εὐθὺς ἅμα καὶ ἑστηκώς ἐστι καὶ ὑγιής, ὅπερ καὶ ψεῦδος (ἐν κινήσει γὰρ αἱ τοιαῦται μεταβολαί, ἡ δὲ ἐν χρόνῳ), ἢ ὅτι τὸν πρότερον ἀνιστάμενον ἢ ὑγιαζόμενον ἐνδέχεται ἑστηκέναι καὶ ὑγιαίνειν νῦν, ὅπερ καὶ ἀληθές. [15]

11 ὑγιάζετο μὲν γὰρ καὶ κάμνων καὶ ὁ κάμνων, ὑγιαίνει δὲ οὐχὶ κάμνων ἀλλ’ ὁ κάμνων· οὐ γὰρ ὁ νῦν ἀλλ’ ὁ πρότερον. αἱ ἀγωγαὶ μέντοι τῶν ἀπηριθμημένων σοφισμάτων πᾶσαι περαιοῦνται διὰ τοῦ πρώτου τρόπου τοῦ πρώτου σχήματος. Παρὰ δὲ τὴν ἀμφιβολίαν οἱ τοιοίδε, τὸ βούλεσθαι λαβεῖν με τοὺς πολεμίους, καὶ γένοιτο τὸν σῦν καταβαλεῖν ἐμέ, καὶ Πάτροκλον δ’ ἀνώγει θῦσαι θεοῖς. τῷ γὰρ ἐν μονοκώλῳ συμφράσει αἰτιατικῇ συμπλακῆναι τὸ ἀπαρέμφατον τὸ διττὸν ἠκολούθησεν. παρὰ δὲ στιγμῆς θέσιν ἢ ὑπέρβασιν λέξεως ἢ ἔλλειψιν ἐκεῖνα· “πεντήκοντ’ ἀνδρῶν ἑκατὸν λίπε δῖος Ἀχιλλεύς”, καὶ “ἐγώ σε ἔθηκα δοῦλον ὄντα ἐλεύθερον”. ἀλλὰ ταῦτα οὐ τόσον τῆς νῦν ἀμφιβολίας εἰσὶ παραδείγματα, ἐπεὶ μηδὲ εἰς συλλογισμὸν πίπτουσι. τοῦ δὲ χάριν προσείληπται; ἵν’ ἐκεῖνο δειχθῇ ἐνεῖναι τὸ διττὸν κἀν τοῖς λόγοις, ὥσπερ κἀν τοῖς ὀνόμασιν. ἀμφίβολα δὲ καὶ ὑπὸ συλλογισμὸν πίπτοντα ταῦτα· ἆρ’ ὃ γινώσκει τις, τοῦτο γινώσκει; γινώσκει δέ τις τὸ ξύλον, τὸ ξύλον ἄρα γινώσκει. εἰ δὲ τοῦτο, καὶ αἴσθησιν ἕξει, εἴπερ καὶ γνῶσιν. πάλιν ὃ ὁρᾷ τις, τοῦτο ὁρᾷ; ὁρᾷ δέ τις τὸν κίονα, ὁ κίων ἄρα ὁρᾷ. καὶ ἆρα ὃ σὺ φῂς εἶναι, τοῦτο σὺ φῂς εἶναι; (ἡ μείζων αὕτη) φῂς δὲ λίθον εἶναι; (ἡ ἐλάττων) σὺ ἄρα φῂς λίθος εἶναι. [15]

12 καὶ ἆρ’ ἔστι σιγῶντα λέγειν; οὔ. τί δ’ ὅταν λέγῃ τις ξύλα λίθους, οὐ λέγει σιγῶντα; ναί. ἔστιν ἄρα σιγῶντα λέγειν. πάλιν, ἆρ’ ἔστι λέγοντα σιγᾶν; οὔ. τί δ’ ὅταν πάντα σιγᾷς, οὐ σιγᾷς καὶ τὰ λέγοντα; ναί. ἔστιν ἄρα λέγοντα σιγᾷν. ἐν πᾶσι τούτοις τοῖς παραλογισμοῖς τὸ ἀμφίβολον αἱ μείζους προτάσεις εἶχον. τό τε γὰρ τοῦτο γινώσκει καὶ τοῦτο ὁρᾷ ἀμφιβάλλεται· ἐπὶ μὲν γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐθείας ληφθέντα ψεύδεται, ἀληθεύει δὲ ἐπὶ αἰτιατικῆς. πάλιν τὸ ὃ σὺ φῂς εἶναι ἢ ὅτι τοῦτο ὃ σὺ λέγεις τοῦτο αὐτὸς εἶ, ὃ δήπουθεν ψεῦδος, ἢ τοῦτο ὃ λέγεις φῂς ἐν ὑπάρξει εἶναι καὶ ὑφιστάμενον, καὶ ἔστιν ἀληθές. διττὸν δὲ καὶ τὸ σιγῶντα λέγειν, τό τε τὸν λέγοντα σιγᾶν καὶ τὸ τὰ λεγόμενα πράγματα. αἱ δὲ ἀγωγαὶ τῶν σοφισμάτων ἐν πρώτῳ καὶ τρίτῳ σχήματι συμπεραίνονται. ἐκεῖνο δὲ δεῖ παρατηρεῖν ἐπὶ ταῖς ἐντεύξεσι τῶν σοφιστῶν, ὡς αὐτοῖς τὰ μείζω τῶν λημμάτων ὡς ἐπὶ τὸ πολὺ προτείνονται πρότερον· λανθάνει γὰρ μᾶλλον ὡς ἀδιόριστον τὸ κοινὸν καὶ συνεπαίρει προχείρως εἰς συγκατάθεσιν, εὐφώρατον δὲ τὸ κατὰ μέρος καὶ ἴδιον ὡς ἐγγύτερον τῆς αἰσθήσεως. εἰσὶ μὲν οὖν τρεῖς τρόποι τῶν παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν, εἷς μὲν κοινός, ὅταν τὸ ὄνομα ἢ ὁ λόγος κυρίως σημαίνῃ πλείονα, οἷον ἀετὸς ὅ τε ἰχθὺς καὶ τὸ πτηνόν (κυρίως γὰρ ἐπ᾽ ἄμφω) καὶ κύων ὅ τε χερσαῖος καὶ ἔνυδρος.

13 κυρίως δὲ λόγος σημαίνων πολλά, ὡς τὸ βούλεσθαι λαβεῖν με τοὺς πολεμίους, καὶ γένοιτο τὸν σῦν καταβαλεῖν με. ἕτερος δὲ ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν· εἰώθαμεν γὰρ κόρακα λέγειν τό τε πτηνὸν καὶ τὸ κοράκιον καὶ κλεῖδα τῆς θύρας καὶ τὸ ὠλέκρανον, καὶ σιγῶντα τόν τε σιωπῶντα ἄνθρωπον καὶ τὰ ἄλαλα πράγματα. καὶ τρίτος ὅταν τὸ συντεθὲν πλείω σημαίνῃ κεχωρισμένον δὲ οὔ, οἷον τὸ ἐπίσταται γράμματα. ἑκάτερον μὲν γὰρ ἰδίως εἰ ἔτυχεν ἕν τι σημαίνει τὸ ἐπίσταται καὶ γράμματα, ἄμφω δὲ πλείω, ἢ τὸ τὰ γράμματα αὐτὰ ἐπιστήμην ἔχειν ἢ τῶν γραμμάτων ἄλλον. Ἡ μὲν οὖν ὁμωνυμία καὶ ἀμφιβολία παρὰ τούτους τοὺς τρόπους εἰσίν, παρὰ δὲ τὴν σύνθεσιν τὰ τοιάδε, οἷον τὸ δύνασθαι καθήμενον βαδίζειν καὶ μὴ γράφοντα γράφειν. λέγεται δ᾽ οὕτω διὰ τὸ τὴν κειμένην λέξιν ἐν τῇ συνθέσει τῆς μείζονος προτάσεως ἐλλείπειν ἐν τῷ συμπεράσματι καὶ οὕτω τὸν λόγον συμβαίνειν ψεύδεσθαι· οὐ γὰρ ταὐτὸ σημαίνει, ἐὰν διελών τις εἴπῃ καὶ συνθείς, ὡς δυνατὸν τὸν καθήμενον βαδίζειν καὶ μὴ γράφοντα γράφειν. προσκείμενον μὲν γὰρ σημαίνοι ἄν ποτε δυνήσεσθαι τὸν καθήμενον βαδίσαι, ἐλλελοιπὸς δὲ νῦν ὅτε κάθηται, ὃ καὶ ψεῦδος. αἱ δὲ ἀγωγαὶ τῶν εἰρημένων σοφισμάτων ἐν πρώτῳ σχήματι οὕτως· ὁ Σωκράτης κάθη ται, ὁ καθήμενος δύναται βαδίζειν, ὁ Σωκράτης ἄρα βαδίζει.

14 ἀλλὰ καὶ οὐ βαδίζει, κάθηται γάρ. πάλιν, ἆρά γε ὁ μὴ γράφων δύναται γράφειν; ναί. ὁ Πλάτων οὐ γράφει, ὁ Πλάτων ἄρα γράφει. καὶ πότερον ὁ ἐπιστάμενος γράμματα δύναται μανθάνειν γράμματα; ναί. τί δαί; ὁ Σωκράτης νῦν ὑπνώττων οὐχὶ ἐπίσταται γράμματα; ὁ Σωκράτης ἄρα μανθάνει νῦν γράμματα. ἀλλὰ καὶ οὐ μανθάνει· κοιμᾶται γάρ. τί δαί; ὁ ἓν δυνάμενος φέρειν δύναται καὶ πολλὰ φέρειν; ναί. ὁ Ἀλκιβιάδης ἓν φέρει, ὁ Ἀλκιβιάδης ἄρα πολλὰ φέρει ἓν καὶ μόνον φέρων. ἐν τούτοις γὰρ εἰ μὲν ὥσπερ ἐν τῇ μείζονι προτάσει τὸ δύνασθαι, οὕτω κἀν τῷ συμπεράσματι ἔκειτο, οὐδ᾽ ἂν ἠκολούθησεν ἄτοπον, παρεθὲν δὲ χώραν τοῖς σοφίσμασιν ἔδωκε. καὶ ταῦτα μὲν παρὰ τὴν σύνθεσιν. Παρὰ δὲ τὴν διαίρεσιν τὰ τοιάδε, ὅτι τὰ πέντε περιττὰ καὶ ἄρτια· διαιρεῖται γὰρ εἰς τρία καὶ δύο, τὰ δὲ περιττὰ καὶ ἄρτια. συμβαίνει δὲ τοῦθ᾽ οὕτω τῷ τὰ μέρη δυνάμει ὄντα ἐν τῷ ὅλῳ τὸν σοφιστὴν διαιρήσαντα ἐνεργείᾳ λαμβάνειν καὶ τὸ συμβαῖνον ἑκατέρῳ ἰδίως ὁμοῦ τοῦ ὅλου κατηγορεῖν· τὸ δὲ παρὰ πολὺ διαφέρει. οὐ γὰρ πᾶν τὸ δυνάμενόν τι γενέσθαι ἤδη καὶ ἐνεργείᾳ ἐκεῖνό ἐστιν· ἢ γὰρ ἂν ἦν τὸ ἐν ὄρει δένδρον πλοῖον δυνάμει ὂν καὶ ὁ ἀσχημάτιστος χαλκὸς ἀνδριάς. παρὰ τὴν διαίρεσιν κἀκεῖνο τὸ σόφισμα τὸ τὸ μεῖζον ἴσον ποιοῦν τῷ ἐλάττονι· ἔστι δὲ μεῖζον ἁπλῶς τὸ τοσοῦτον καὶ ἔτι πρός.

15 ἡ δὲ ἔκθεσις οὕτως· οὐχὶ ὁ ὀκτὼ εἰς ἓξ καὶ δύο διαιρεῖται, καὶ πάλιν εἰς τρία καὶ πέντε; ναί. ὁ ἄρα ὀκτὼ εἰς ἓξ καὶ δύο καὶ πέντε καὶ τρία διαιρεῖται. ἀλλὰ ταῦτα ὁμοῦ ἑκκαίδεκα ἐστίν. ὁ ὀκτὼ ἄρα ἐλάττων ὢν μείζονα ἀριθμὸν ἑαυτοῦ πληροῖ τὸν ἑκκαίδεκα, ὅπερ ἀδύνατον. τὰ γὰρ δυνάμει ὄντα καὶ ὁμοῦ ἐνεργείᾳ καὶ διῃρημένα ληφθέντα τὸ ἄτοπον ἐπεισήγαγον. ὁ γὰρ αὐτὸς λόγος, ὡς εἴρηται, διῃρημένος καὶ συγκείμενος οὐκ ἀεὶ τὸ αὐτὸ σημαίνειν ἂν δόξειεν, ὡς ἐπ᾽ ἐκείνοις “ἐγώ σε ἔθηκα δοῦλον ὄντα ἐλεύθερον”, καὶ “πεντήκοντ᾽ ἀνδρῶν ἑκατὸν λίπε δῖος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλεύς.” εἰ γὰρ διαλύσαις ἐγώ σε ἔθηκα δοῦλον, ἐγώ σε ἔθηκα ἐλεύθερον, ἢ στίξαις εἰς τὸ δοῦλον ὄντα, ἔλυσας τὸ ἀμφίβολον. Πέμπτος τρόπος τῶν παρὰ τὴν λέξιν σοφισμάτων ὁ παρὰ προσῳδίαν. γίνεται δὲ ὅταν ὁ τόνος, πρὸς ὃν ᾄδομεν τὸν λόγον, μεταβληθῇ ἢ μετατεθῇ ἢ προστεθῇ ἢ ἀφαιρεθῇ, ἢ καὶ τὸ πνεῦμα· ἕτερον γὰρ καὶ ἕτερον ἀνάγκη τὸν λόγον διὰ ταῦτα γίνεσθαι. ἐν μὲν οὖν τοῖς ἄνευ γραφῆς διαλεκτικοῖς καὶ ταῖς ἐν ταῖς συνουσίαις ὁμιλίαις οὐ ῥᾴδιον ποιῆσαι τοῦτο, ἐν δὲ τοῖς γεγραμμένοις καὶ ποιήμασι μᾶλλον, οἷον καὶ τὸν Ὅμηρον ἔνιοι διορθοῦνται, ὡς Ἱππίας ὁ Θάσιος, πρὸς τοὺς ἐλέγχοντας ὡς ἄτοπον εἰρηκότα “τὸ μὲν οὗ καταπύθεται ὄμβρῳ. [15]

16 ” λύουσι γὰρ αὐτοὶ τῇ προσῳδίᾳ, μὴ περισπωμένως μηδ’ ὀξυτόνως προφέρειν τὸ ου , ἀλλ’ ἀνειμένως καὶ ἀποφατικῶς. πεποίηται γὰρ ἐπὶ τῷ Πατρόκλου ἱππικῷ ὁ Νέστωρ ὑποτιθέμενος τῷ παιδὶ Ἀντιλόχῳ ἱππεύοντι τὰ τῆς ὁδοῦ σῆμα δέ σοι ἐρέω μάλ’ ἀριφραδὲς οὐδέ σε λήσει· ἕστηκε ξύλον αὖον ὅσον τ’ ὄργυι’ ὑπὲρ αἴης ἢ δρυὸς ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ· λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ’ ἱππόδρομος ἀμφίς. Τὸ γὰρ πεύκινον ξύλον, ὥς φασι, τοῖς γλυκέσι τῶν ὑδάτων οὐ καταπύθεται ἀλλὰ τοῖς ἁλμυροῖς. παρὰ προσῳδίαν καὶ τὸ περὶ τὸ ἐνύπνιον τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ αὐτῷ ὁ Ζεὺς εἶπε “δίδομεν δέ οἱ εὖχος ἀρέσθαι” (ἐψεύδετο γὰρ ἄν), ἀλλὰ τῷ ἐνυπνίῳ ἐνετέλλετο διδόναι. γένοιτο δ’ ἄν ποτε κἀν ταῖς ἀγράφοις διαλέξεσι παρὰ προσῳδίαν ἀπάτη, ὡς “ἐκεῖνο οὗ καταλύεις οἰκία; ναί. τὸ οὐ καταλύεις ἀπόφασις. ἡ οἰκία ἄρα ἀπόφασις” τὸ μὲν γὰρ πρότερον ου περισπασθὲν καὶ δασυνθὲν τὸ ὅπου ἐσήμανε, τὸ δὲ δεύτερον ἄνευ τόνου καὶ μετὰ ψιλῆς στέρησιν καὶ ἀπόφασιν, καὶ οὕτω τὸ σόφισμα εἰσενήνεκται. [15]

17 πάλιν τὸ ζῷον λογικὸν θνητὸν οὐχ ὅρος ἐστί; ναί. τὸ ὅρος ἕστηκε, τὸ ζῷον λογικὸν θνητὸν ἄρα ἕστηκεν. Οἱ δὲ παρὰ τὸ σχῆμα τῆς λέξεως παραλογισμοὶ συμβαίνουσιν, ὅταν τὸ μὴ ταὐτὸν ὡσαύτως ἑρμηνεύηται, οἷον τὸ ἄρρεν θῆλυ ἢ τὸ θῆλυ ἄρρεν, ἢ τὸ μεταξὺ θάτερον τούτων, ἢ πάλιν τὸ ποιὸν ποσὸν ἢ τὸ ποσὸν ποιόν, ἢ τὸ ποιοῦν πάσχον ἢ τὸ διακείμενον ποιοῦν, καὶ τἄλλα τὰ τοῦ ὄντος γένη, ἃ κἀν τῇ περὶ αὐτῶν πραγματείᾳ εἰς δέκα διείλομεν, εἴ τινος φύροντος ἐν ἀλλήλοις περιχωρήσαιεν. ἔστι γὰρ τὸ μὴ τῶν ποιεῖν ὂν ὡς τῶν ποιεῖν τι τῇ λέξει σημαίνειν, οἷον τὸ ὑγιαίνειν ὁμοίως τῷ σχήματι τῆς λέξεως λέγεται τῷ τέμνειν καὶ οἰκοδομεῖν· καίτοι τὸ μὲν διακείμενόν πως δηλοῖ τὸ ὑγιαίνειν, τὸ δὲ ποιεῖν τι τὸ τέμνειν καὶ οἰκοδομεῖν. οὕτω καὶ τὸ τύπτομαι καὶ διαλέγομαι σχήματι μὲν ταὐτά, δυνάμει δὲ ἕτερα· τὸ μὲν γὰρ πάθος τὸ δὲ ἐνέργεια. αἱ δὲ τῶν σοφισμάτων ἀγωγαὶ ἐν μὲν δευτέρῳ σχήματι καὶ ἐκ δύο καταφατικῶν αὗται· οὐχὶ τὸ ἄρρεν οὐδέτερον; οὐχὶ τὸ θῆλυ οὐδέτερον; τὸ ἄρρεν ἄρα θῆλυ. κατὰ τὰ αὐτὰ καὶ τὸ ποιὸν καὶ τὸ ποσόν· ἄμφω γὰρ οὐδέτερα καὶ ἄμφω ταὐτά. οὕτω καὶ τὸ ποιεῖν καὶ πάσχειν ὅτι καὶ ἄμφω ῥήματα καὶ ὁμοίως προφέρονται. ἐν δὲ τῷ πρώτῳ· οὐ τὸ μανθάνειν ἐνεργεῖν ἐστι περὶ τὴν μάθησιν; τοῦτο δὲ διδάσκειν ἐστί; τὸ μανθάνειν ἄρα διδάσκειν ἐστίν. Οἱ μὲν οὖν παρὰ τὴν λέξιν ἔλεγχοι ἐκ τούτων τῶν λόγων εἰσίν, οὔτε δὲ πλείονες οὔτε ἐλάττο νες. [20]

18 τούτου δὲ πίστις ἥ τε δι’ ἐπαγωγῆς καὶ συλλογισμοῦ. ἀνάγκη γὰρ τὴν περὶ τὰς φωνὰς ἀπάτην ἢ ἐκ τῶν κατ’ αὐτὰς εἶναι ἢ ἐκ τῶν περὶ αὐτάς· καὶ εἰ μὲν ἐκ τῶν κατ’ αὐτάς, ἢ ἐκ τῶν ἁπλῶν φωνῶν διάφορα δὲ περιεχουσῶν πράγματα, καὶ γίνεται τὸ πρῶτον εἶδος τὸ καθ’ ὁμωνυμίαν, ἢ ἐκ τῶν συντιθεμένων ὁμοιοτρόπως δὲ διάφορα σημαινουσῶν πράγματα, καὶ γίνεται τὸ δεύτερον τὸ κατ’ ἀμφιβολίαν· ἤ τι παραλέλειπται ἐν δευτέροις τῶν πρώτως συντιθεμένων ἁπλῶν, καὶ ποιεῖ τὸ κατὰ σύνθεσιν τρίτον εἶδος· ἢ ὡς ὅλας τὰς ἁπλᾶς λαβὼν φωνὰς καὶ καθ’ ἓν διαιρεῖ καὶ τὰ ἰδίως προσόντα τοῖς μέρεσι τῷ κοινῷ προσάπτει, καὶ ποιεῖ τὸ κατὰ διαίρεσιν. καὶ ἐκ μὲν τῶν κατ’ αὐτὰς συμβαινόντων ταῖς λέξεσι ταῦτα συνίσταται τὰ σοφίσματα· ἐκ δὲ τῶν περὶ αὐτὰς ἢ περὶ τόνον ἢ πνεῦμα μεταβολή τις γίνεται καὶ ποιεῖ τὸν πέμπτον τρόπον καὶ παρὰ προσῳδίαν, ἢ περὶ τὸν ποιὸν τῆς λέξεως σχηματισμόν, καὶ ποιεῖ τὸν λοιπὸν ἕκτον τὸν οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσηγορευμένον παρὰ τὸ σχῆμα τῆς λέξεως. πάλιν τὰ περὶ τὴν λέξιν σοφίσματα παρὰ τὴν κακίαν τῆς λέξεως γίνεται. τοῦτο δὲ παρὰ τὸ μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς ὀνόμασι καὶ λόγοις δηλοῦσθαι, τὸ δὲ διὰ τὸ διττὸν τῶν σημαινομένων. τοῦτο δὲ τριττόν· ἢ γὰρ δυνάμει τὸ διπλοῦν ἢ ἐνεργείᾳ ἢ φαντασίᾳ. διττῶς δὲ τὰ τρία ἑξαχῶς συμβαίνει γίνεσθαι. τὰ ἄρα παρὰ τὴν λέξιν σοφίσματα ἑξαχῶς συμβαίνει γίνεσθαι.

19 ἐνεργείᾳ μὲν οὖν ἔχοιεν τὸ διττὸν οἱ παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν· ὁ γὰρ ἀετὸς καὶ ὁ κύων τῷ ὄντι ἐνεργείᾳ πολλὰ σημαίνει, καὶ ὁ λόγος “ἆρ’ ἔστι σιγῶντα λέγειν;” δυνάμει δὲ οἱ παρὰ προσῳδίαν καὶ σύνθεσιν καὶ διαίρεσιν· πλείω μὲν γὰρ οὐ σημαίνουσι, διὰ δὲ τὸ εἰς ἑκάτερον ἐκλαμβάνεσθαι διττοὶ λέγονται. φαντασίᾳ δὲ διπλοῖ οἱ παρὰ τὸ σχῆμα τῆς λέξεως· τὸ γὰρ ὁρῶ καὶ λέγω ἐπειδήπερ ὁμοίως ἐκφέρεται, καὶ τῆς αὐτῆς διαθέσεως οἱ σοφισταὶ τίθενται· τῶν δὲ τὸ μὲν πάθος τὸ δὲ ἐνέργεια. Καὶ περὶ μὲν τῶν ἐντὸς τῆς λέξεως παραλογισμῶν τοσαῦτα, τῶν δ’ ἔξω τῆς λέξεως εἴδη εἰσὶν ἑπτά, ἓν μὲν παρὰ τὸ συμβεβηκός, δεύτερον δὲ παρὰ τὸ ἁπλῶς ἢ μὴ ἁπλῶς ἀλλὰ πῆ ἢ ποῦ ἢ ποτὲ ἢ πρός τι ἢ πῶς, τρίτον τὸ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν, τέταρτον τὸ παρὰ τὸ ἑπόμενον, πέμπτον δὲ παρὰ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν, ἕκτον δὲ τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέναι, ἕβδομον τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν. Οἱ μὲν οὖν παρὰ τὸ συμβεβηκὸς παραλογισμοί εἰσιν, ὅτε ἀξιοῖ τις, ὅ τι οὖν ὑπάρχει τῷ κατηγορουμένῳ, τοῦτο καὶ τῷ ὑποκειμένῳ ἐξ ἀνάγκης ὑπάρχειν· οἷον τὸ ζῶον κατηγορεῖται μὲν τοῦ ἀνθρώπου, πολλὰ δὲ αὐτῷ συμβέβηκε, τὸ γένος εἶναι, τὸ δισύλλαβον, τὸ ἔμψυχον, τὸ αἰσθητικόν.

20 εἰ οὖν πάντα ἐξ ἀνάγκης κατὰ τοῦ ἀνθρώπου καὶ ὁμοτίμως κατηγορεῖσθαι δώσομεν, πολλὰ συμβαίνει τὰ ἄτοπα· πάντα γὰρ ἂν οὕτως ἔσται ταὐτά, καὶ αἱ οὐσίαι συμβεβηκότα καὶ τὸ ἔμπαλιν, καὶ σώματα τὰ ἀσώματα. ἀλλ’ οὐχ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου αὐτῷ ῥηθήσεται, ἀλλ’ ὅσα οὐσιώδη τέ ἐστι καὶ εἰς τὸν ὁρισμὸν παραλαμβάνεται. ὥστε οὐ καλῶς φασιν οἱ σοφισταί, εἰ ὁ Κορίσκος ἕτερον ἀνθρώπου, αὐτὸς ἑαυτοῦ ἕτερος· ἔστι γὰρ ἄνθρωπος· ἢ εἰ Σωκράτης ἕτερος, ὁ δὲ Σωκράτης ἄνθρωπος, ἕτερος ἀνθρώπου. ἄγονται δὲ τὰ σοφίσματα οὕτω· ὁ Κορίσκος ἄνθρωπος, ὁ ἄνθρωπος ἕτερος Κορίσκου, ὁ Κορίσκος ἄρα ἕτερος Κορίσκου, καὶ αὐτὸς ἑαυτοῦ χωρίς. πάλιν ὁ Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ἕτερος Σωκράτους, ὁ Σωκράτης ἄρα ἕτερος αὐτοῦ. οἱ γὰρ παραλογισμοὶ ἐν μὲν τῇ ἐλάττονι προτάσει τὸν συγκατατεταγμένον τῷ Κορίσκῳ καὶ Σωκράτει μερικὸν ἐλάμβανον ἄνθρωπον, ἐν δὲ τῇ μείζονι τὸν ἀκατάτακτον καὶ κοινόν· συμβέβηκε δὲ τούτῳ μὴ Κορίσκῳ μηδὲ Σωκράτει εἶναι. ὅσα μέντοι οὐσιωδῶς ἔνεισιν ἐν τῷ καθόλου, πάντα καὶ τοῖς ὑπ’ αὐτῷ ὑπάρξει ἀτόμοις, τὰ δ’ ἄλλως οὔ. σαφέστερα δὲ ταῦτα· ἆρ’ οὐχ ὁ κύκνος λευκόν; τοῦτο δὲ οὐ χρῶμα; ὁ κύκνος ἄρα χρῶμα. τὸ δὲ διακριτικὸν ὄψεως, τοῦτο δὲ ποιότης, ἡ δὲ ἀσώματον.

21 ἔσται ἄρα ταῦτα καὶ ὁ κύκνος. πάλιν ἐν τρίτῳ σχήματι· ὁ κύων οὗτος σός; ναί. τί δαί, καὶ πατήρ; ναί. σὸς ἄρα ὁ κύων πατήρ. συμβέβηκε γὰρ τῷ κυνὶ σῷ τε εἶναι καὶ πατρὶ σκυλακίων. Καὶ παρὰ μὲν τὸ συμβεβηκὸς οὗτοι· τοὺς δὲ παρὰ τὸ πῆ καὶ ἁπλῶς ἤδη λέγομεν, μικρὰ δ’ ἄττα πρότερον περὶ τῶν κατηγορουμένων διαληψόμεθα πρὸς σαφήνειαν. πᾶσα κατηγορία ἢ ἓν καθ’ ἑνός ἐστιν, ἢ πολλὰ κατὰ πολλῶν, ἢ πολλὰ καθ’ ἑνός, ἢ ἓν κατὰ πολλῶν. παρίεμεν δὲ τὰ κατὰ τὴν ὁμωνυμίαν ἐνταῦθα, ἵνα μὴ ὁ λόγος συγχέηται. ἐπεὶ δὲ τῶν πολλῶν καὶ καθ’ ἑνὸς κατηγορουμένων (τἄλλα γὰρ ὡς ἧττον ἡμῖν συμβάλλοντα πρὸς τὸ προκείμενον ἀφίεμεν, ὥσπερ καὶ τὰ ὁμώνυμα) τὰ μὲν καὶ ἰδίως καὶ ὁμοῦ κατηγορεῖσθαι δύναται, τὰ δὲ ἰδίως μόνον, τὰ δὲ συνθέτως, ζητοῦμεν τὴν διαφοράν· κατὰ γὰρ τοῦ ἀνθρώπου καὶ τὸ ἔμψυχον καὶ τὸ ζῶον καὶ τὸ λογικὸν καὶ τὸ θνητὸν ἰδίως ἕκαστον ἀληθὲς εἰπεῖν καὶ ὁμοῦ πάντα, κατὰ δὲ τοῦ Σίμωνος τὸ σκυτεὺς καὶ τὸ ἀγαθὸς ἰδίως μὲν ἀληθές, σύνθεντα δὲ ψεῦδος· ἦν γὰρ ὁ Σίμων ἀγαθὸς μὲν τὸν τρόπον, ἀφυὴς δὲ τὴν τέχνην. πάλιν κατὰ τοῦ νεκροῦ ἀνθρώπου καὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λιθίνης χειρὸς ἢ νηὸς τὸ μὲν ὅλον τοῦτο λιθίνην χεῖρα ἢ νῆα καὶ ἄνθρωπον νεκρὸν συνημμένα καὶ ὁμοῦ εἰπεῖν ἐγχωρεῖ, ἰδίως δὲ τὸν νεκρὸν ἄνθρωπον εἰπεῖν ἢ τὸν λίθον χεῖρα ἢ νῆα ψεῦδος.

22 καὶ ὁ Αἰθίοψ λευκὸς τοὺς ὀδόντας, ἁπλῶς δ’ οὔ. ἐκεῖνα δὲ πρὸς ταῦτα δεῖ εἰπεῖν, ὡς ὅσα μὲν οὐσιωδῶς κατηγορεῖται καὶ καθ’ αὑτὸ καὶ μή τινα πρὸς ἄλληλα ἐναντίωσιν ἔχει, ταῦτα καὶ ἰδίως καὶ ὁμοῦ κατηγορηθήσεται (πλὴν διοίσει κἀν τῇ συνθέσει τῷ τρόπῳ, ὡς ἀπὸ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα ἐρχομένων, τὸ ἀνάπαλιν δ’ οὔ· περιττὸν γὰρ ἄνθρωπον εἰπόντα τὸν Σωκράτην προστιθέναι καὶ λογικὸν ζῶον, ὥσπερ ἐγχωροῦντος ἄνθρωπον εἶναι, μὴ ταῦτα δέ· ἔνεισι γὰρ ἐν τοῖς εἴδεσι τὰ γένη καὶ ἐν τοῖς μερικοῖς τὰ κοινά), ἐφ’ ἃ δέ ἐστιν ἀντίφασις ἢ ἐκ τῶν ὀνομάτων ἢ ἐκ τῶν λόγων, ἡνωμένως μὲν κατηγορεῖν ἐγχωρεῖ διῃρημένως δ’ οὔ. καὶ ἀντίφασις μὲν ἐν ὀνόμασιν ὡς ἐκείνως ἄνδρα καὶ οὐκ ἄνδρα τὸν εὐνοῦχον εἰπεῖν, καὶ τὴν νυκτερίδα ὄρνιν καὶ οὐκ ὄρνιν, ἐν τοῖς πράγμασι δὲ ὡς ἄνθρωπος καὶ νεκρὸς καὶ χεὶρ καὶ λίθος· τὰ μὲν γὰρ ἔμψυχα καὶ ζῶντα, τὰ δ’ οὔ. ἔτι ἔστιν ἃ καὶ τῶν διὰ μέσου ἄλλου, ὃ καθ’ αὑτὸ κατηγορεῖται, ἑτέρου κατὰ συμβεβηκὸς κατηγορουμένων, καίπερ μὴ ἔχοντα ἀντίφασιν, ὅμως οὐκ ἂν ἰδίως λεχθεῖεν χωρισθέντα τοῦ δι’ οὗ καὶ καθ’ οὗ κατ’ οὐσίαν ἐλέγετο, οἷον Ὅμηρος ποιητής ἐστιν. ἆρ’ οὖν καὶ ἔστιν ἁπλῶς; οὔ· τέθνηκε γὰρ πάλαι. τὸ γὰρ ἔστι τοῦ ποιητοῦ μὲν καθ’ αὑτὸ κατηγόρηται, τοῦ δὲ Ὁμήρου κατὰ συμβεβηκός, ὅθεν καὶ ἰδίως προστεθὲν οὐκ ἐφήρμοσε.

23 πάλιν τὸ μὴ ὂν δοξαστόν ἐστιν, οὐκ ἤδη δ’ ἁπλῶς καὶ ἔστιν. οὐ γὰρ τῷ μὴ ὄντι τὸ ἔστιν, ἀλλὰ τῷ δοξαστῷ πρόσκειται· δόξα γὰρ αὐτοῦ ἐστιν οὐχ ὅτι ἐστίν, ἀλλ’ ὅτι οὐκ ἔστιν. ὅσα δὲ κατὰ συμβεβηκὸς κατὰ τοῦ αὐτοῦ καὶ θάτερον κατὰ θατέρου λέγεται, ἐπεὶ μὴ ἔστιν ἕν, οὐδαμοῦ ἂν ῥηθείη, οἷον ἄνθρωπός ἐστι λευκὸς καὶ μουσικός, καὶ Σίμων σκυτεὺς καὶ ἀγαθός, ἀλλ’ οὐχ ἓν τὸ λευκὸν καὶ μουσικόν, οὐδὲ τὸ σκυτεὺς καὶ ἀγαθὸς τῷ συμβεβηκέναι καὶ ἑαυτοῖς καὶ τῷ ὑποκειμένῳ. οὔκουν εἰ τὸ λευκὸν μουσικὸν ἀληθὲς εἰπεῖν, οὐδ’ οὕτως ἔσται τὸ λευκὸν καὶ τὸ μουσικὸν ἕν τι· δι’ ὃ οὐδ’ ὁ Σίμων σκυτεὺς ἀγαθὸς ἅμα. τούτων οὕτω διωρισμένων προβαίνουσιν οἱ παρὰ τὸ πῇ καὶ ἁπλῶς συλλογισμοὶ παρὰ τὸ φθείρειν ἑκόντα τὸν σοφιστὴν τὴν εἰρημένην ἐν τοῖς κατηγορουμένοις διαστολὴν καὶ τὰ πῇ εἴτ’ οὖν συνθέτως καὶ μερικῶς κατηγορούμενα ἢ ποῦ ἢ ποτὲ ἢ πρός τι ἁπλῶς καὶ ἰδίᾳ λαμβάνειν, ἢ τὸ ἀνάπαλιν τὰ ἁπλῶς καὶ ἰδίᾳ πῇ. τὸ γὰρ μὴ ὂν ὅτι δοξαστόν ἐστι πῇ καὶ ὁμοῦ λαβών, καὶ ὅτι ἁπλῶς ἔστι συλλογίζεται χωρίζων, τὸ μὴ ὂν λέγων δοξαστόν, τὸ δοξαστὸν ἔστι, τὸ μὴ ὂν ἄρα ἔστιν. ἢ καὶ οὕτως· ὁ τραγέλαφος δοξαστόν, τὸ δοξαστὸν ὄν, ὁ τραγέλαφος ὄν. καὶ ἆρ’ ἔστιν Ὅμηρος; οὔ. τί δαί, οὐ ποιητής ἐστιν; ναί. ἔστιν ἄρα Ὅμηρος. ἢ καὶ ἀποφατικῶς, ὅτι ὂν οὐκ ἔστιν ὄν, εἰ τῶν ὄντων τι μὴ ἔστιν, οἷον εἰ μὴ ἄνθρωπος. λαβὼν γὰρ κἀνταῦθα τὸ τὸ ὂν ἁπλῶς ἕτερον τινῶν ὄντων εἶναι τῶν κατὰ μέρος, οἷον ἵππου καὶ βοὸς καὶ λίθου, τὸ δὲ τῶν ὄντων ἕτερον οὐκ ὂν αὐτὸς προσθείς, τὸ ὂν οὐκ ὂν συνεπέρανεν.

24 ἀλλ’ οὐχὶ ταὐτὸν εἶναί τι καὶ ἁπλῶς εἶναι ἢ μὴ εἶναί τι καὶ ἁπλῶς μὴ εἶναι. φαίνεται δὲ διὰ τὸ πάρεγγυς εἶναι τῆς λέξεως καὶ μικρὸν διαφέρειν τὸ εἶναί τι τοῦ ἁπλῶς εἶναι καὶ τὸ μὴ εἶναί τι τοῦ ἁπλῶς μὴ εἶναι· λανθάνει γὰρ τὸ τὶ ἐν μέσῳ προσερριμμένον καὶ παρεῖται ἀνεπίσκεπτον. οὕτω δ’ ἂν ἔχοι καὶ τὸ παρ’ Εὐνομίῳ πρὸς τἀληθὲς παράκρουσμα. μείζονα γὰρ τοῦ υἱοῦ τὸν πατέρα διδόντων ἡμῶν τῷ αἰτίῳ φύσει, ἤγουν τῷ φυσικῷ καὶ οὐ τῷ δημιουργικῷ, καὶ συνημμένως ταῦτα κατηγορούντων καὶ πῇ, διαλύσας καὶ ἰδίᾳ χρησάμενος ἐσοφίσατο οὕτω συνθείς· ὁ πατὴρ μείζων τοῦ υἱοῦ τῷ αἰτίῳ, τὸ αἴτιον φύσει, ὁ πατὴρ ἄρα μείζων τοῦ υἱοῦ τῇ φύσει. καὶ πάλιν ὁ Ἰνδὸς μέλας ὢν ἁπλῶς λευκός ἐστιν τοὺς ὀδόντας, ὥστε λευκὸς καὶ οὐ λευκός. καὶ πάντες ἄνθρωποι δίκαιοι καὶ οὐδείς, οὐχ ἅμα δὲ οὐδ’ ἀεί, ἀλλ’ οἱ μὲν ἐπὶ τοῦ χρυσοῦ γένους, οἱ δὲ ἐπὶ τοῦ σιδηροῦ. καί που τὸ τοὺς γονεῖς θύειν καλόν· ἐν Τριβαλλοῖς γάρ,

ἁπλῶς δ’ οὔ. καὶ διπλάσια τὰ δέκα καὶ οὐ διπλάσια· πρός τι γάρ· τῶν γὰρ πέντε μόνον. ἐν τούτοις οὖν ὁ σοφιστὴς διατρίβων ἐλλείπων καὶ παραποιῶν κακουργεῖ. [15]

25 πάλιν ἐπὶ τῶν ἐναντίων, ὅτε ἄμφω πῇ ὄντα ἐν τῷ πράγματι ἁπλῶς ἄμφω ὑπάρχειν τίθεται, οἷον τοῦ ὀφθαλμοῦ τὸ μὲν ἥμισυ λευκὸν τὸ δ’ ἥμισυ μέλαν, ὡς ἁπλῶς ὁ ὀφθαλμὸς καὶ λευκὸς καὶ μέλας. ἀλλὰ τοῦτο ἐπ’ ἐνίων μὲν παντὶ θεωρῆσαι ῥᾴδιον, ὅθεν ἡ ἀπάτη, ὡς ἐπὶ τοῦ εἰρημένου, ἐπ’ ἐνίων δὲ λανθάνει πολλάκις, καὶ ὅταν πῇ λέγηται τὰ ἐναντία, δοκεῖ καὶ τὸ ἁπλῶς ἀκολουθεῖν, ὡς ἐπὶ τοῦδε· ἆρ’ ἐνδέχεται τὸν αὐτὸν ἅμα ἐπιορκεῖν καὶ εὐορκεῖν; οὔ. τί δέ, ὁ ὀμόσας ἐπιορκήσειν καὶ ἐπιορκήσας οὐκ εὐώρκησεν; ἐνδέχεται ἄρα ἐπιορκοῦντα εὐορκεῖν. καὶ ἐπ’ ἐκείνων δὲ λανθάνει καὶ δοκεῖ τῷ πῇ καὶ τὸ ἁπλῶς ἀκολουθεῖν, ἐν ὅσοις μὴ ῥᾴδιον θεωρῆσαι ποτέρως τὸ πρᾶγμα χρὴ λαβεῖν. γίνεται δὲ τὸ τοιοῦτον ἐν ὅσοις ὁμοίως ἔχει τὰ ἀντικείμενα. δοκεῖ γὰρ ἢ ἄμφω ἢ μηδέτερον δοτέον ἁπλῶς εἶναι κατηγορεῖν. οἷον ἡ ἀνδρεία καὶ καλὸν ὅτι ἀρετὴ καὶ κακὸν διὰ τὰς ἐν πολέμῳ τρώσεις καὶ σφαγάς. ποτέρως οὖν χρὴ λαβεῖν αὐτὴν καλὴν ἢ κακήν, οὐ ῥᾴδιον εἰπεῖν. καὶ τοδὶ τὸ μέγεθος ὂν τῷ μήκει τετράπηχυ καὶ δίπηχυ τῷ πλάτει πότερον δίπηχύ ἐστιν ἢ οὔ, οὐ ῥᾴδιον ἀποδοῦναι. ναὶ δὲ καὶ οὒ ἀποκρινόμενοι ἢ πῶς μὲν πῶς δ’ οὒ οὐ διαλεκτικῶς ἀπεκρίθημεν. Οἱ δὲ γίνονται παρὰ τὸ μὴ διωρίσθαι μηδ’ ἀκριβοῦσθαι τί ἐστι συλλογισμὸς ἀληθὴς ἢ τί ἐστιν ἔλεγχος, οὓς καὶ παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν λέγειν εἰώθαμεν. [15]

26 ἔλεγχος τοίνυν ἐστὶ κυρίως ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνός, μὴ ὀνόματος, ἀλλὰ πράγματος, καὶ ὀνόματος μὴ συνωνύμου ἀλλὰ τοῦ αὐτοῦ καὶ ἑνός, ἐκ τῶν δοθέντων, ἐξ ἀνάγκης, μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ, κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. εἰ γὰρ μέλλοιμεν ἐλέγχειν τὸν ἡμῖν προσδιαλεγόμενον εἴ τι μὴ καλῶς λέγοι, δεῖ τοῦτον εἰς ἀντίφασιν περιαγαγεῖν ἔχουσαν τοὺς εἰρημένους προσδιορισμούς, καὶ πρῶτον τὸ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου εἶναι καὶ κατηγορουμένου. ὁ γὰρ λέγων Σωκράτης διαλέγεται, Πλάτων οὐ διαλέγεται, ἢ Σωκράτης κάθηται, Σωκράτης οὐ καθεύδει, οὐ ποιεῖ ἀντίφασιν. τὸ μὲν γὰρ ἐπ’ ἄλλου καὶ ἄλλου, τὸ δὲ ἄλλο καὶ ἄλλο. καὶ μὴ ὀνόματος δὲ δεῖ μόνον προσεῖναι ταυτότητα ἀλλὰ καὶ πράγματος· τί γάρ, εἰ κοινωνεῖ μὲν ὀνόματι, μὴ κοινωνεῖ δὲ πράγματι, οἷα τὰ ὁμώνυμα; οὐ γὰρ ἂν ποιήσοι ἀντίφασιν· ὁ γὰρ εἰπὼν κύνα ὑλακτεῖν ἢ μὴ ἀληθεύει, τὸ μὲν ἐπὶ τοῦ χερσαίου φέρων τὸ δὲ ἐπὶ τοῦ θαλαττίου. καὶ οὐκ ἐπὶ τῶν ὁμωνύμων εὐλαβεῖσθαι δεῖ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν συνωνύμων· τὸ γὰρ ζῷον περιπατεῖ καὶ ζῷον οὐ περιπατεῖ ἄμφω ἀληθῆ καὶ συνώνυμα. ἐκ δὲ τῶν δοθέντων ἐξ ἀνάγκης καὶ μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ προστέθειται διὰ τοὺς τὸ μὴ αἴτιον τιθέντας ὡς αἴτιον, καὶ διὰ τοὺς αἰτοῦντας τὸ ἐν ἀρχῇ· οἱ μὲν γὰρ οὐκ ἐξ ὧν ὁ προσδιαλεγόμενος δίδωσι, συμπεραίνουσιν, οἱ δὲ τὸ ἀμφισβητούμενον λαμβάνουσιν ὡς ὁμολογούμενον. ζητουμένου γὰρ εἰ ἡ ψυχὴ ἀθάνατος, εἴ τις ἄφθαρτον εἴπῃ καὶ διὰ τοῦτο ἀθάνατον, τὸ ἐν ἀρχῇ αἰτεῖται· οὐ γὰρ ἕτερον τοῦ ἀθανάτου τὸ ἄφθαρτον. [20]

27 κατὰ τὸ αὐτὸ δὲ καὶ πρὸς τὸ αὐτό, ὡς εἰ τὸ ξύλον τόδε μήκει μὲν εἴη τρίπηχυ, πλάτει δὲ δίπηχυ· τρίπηχυ γὰρ λέγειν αὐτὸ καὶ οὐ τρίπηχυ κατ’ ἄλλο καὶ ἄλλο ἀληθές. ὡσαύτως δὲ καὶ ἐν τῷ αὐτῷ χρόνῳ τὸ μὲν διὰ τὸ δυνάμει καὶ ἐνεργείᾳ τὸ δὲ διὰ τὴν τοῦ χρόνου παραλλαγήν. τὸ γὰρ Σωκράτης ὁρᾷ, Σωκράτης οὐχ ὁρᾷ κοιμώμενος ἀληθῆ, τὸ μὲν κατὰ δύναμιν καὶ καθ’ ἕξιν, τὸ δὲ κατ’ ἐνέργειαν. καθ’ ὅσα δὲ ὁ ἀληθὴς ἔλεγχος, παρὰ τοσαῦτα καὶ ὁ ψευδής· ἃ γὰρ ἐν ἐκείνῳ τηροῦντες ὀρθοποδοῦμεν, ἐκκλίνοντες ἐν τούτῳ ψευδόμεθα. ἕλκοι δ’ ἄν τις τοῦτον τὸν παραλογισμὸν καὶ εἰς τὰ παρὰ τὴν λέξιν σοφίσματα. Πενταχῶς δὲ συμβαίνει γίνεσθαι καὶ τοὺς τὸ ἐν ἀρχῇ αἰτοῦντας, ὥσπερ ἐν τοῖς Τοπικοῖς εἴρηται. φανερώτατα μὲν καὶ πρῶτον, εἴ τις αὐτὸ τὸ προκείμενον εἰς δεῖξιν λάβοι ὡς ὁμολογούμενον. οὐκ αὐτὸ μέντοι κατὰ τὰς συλλαβὰς ἢ τὰ στοιχεῖα τὸ μεταληφθησόμενον ἔσται (πῶς γὰρ ἂν λήσοι;) ἀλλὰ κατὰ δύναμιν, ὡς ἐπὶ τῶν πολυωνύμων ἔχει καὶ ἐν ὅσοις τὸ ὄνομα καὶ ὁ λόγος ταὐτὸν σημαίνει. πρὸς γὰρ τὸν ζητοῦντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴπερ ὁ ἄνθρωπος θνητός, εἰ δοίη τις, διότι καὶ βροτός, ἢ ἡ ψυχὴ ἀθάνατος, ὅτι ἀνώλεθρος, τὸ εἰρημένον ποιεῖ.

28 δεύτερον δὲ ὅταν κατὰ μέρος δέον ἀποδεῖξαι τὸ καθόλου τις λάβοι, οἷον ἐπιχειρῶν ὅτι τῶν ἐναντίων μία ἐπιστήμη καθόλου τῶν ἀντικειμένων μίαν εἶναι ἀξιώσει, τὰ δ᾽ ἐναντία ἀντικείμενα· δοκεῖ γὰρ ὃ ἔδει αὐτὸ καθ᾽ αὑτὸ δεῖξαι, μετ᾽ ἄλλων λαβεῖν πλειόνων ὡς ὁμολογούμενον. καὶ τρίτον ὅταν γένηται τὸ ἐναντίον, εἴ τις καθόλου δεῖξαι προκειμένου κατὰ μέρος αἰτήσειεν, οἷον εἰ προκειμένου πάντων τῶν ἐναντίων μίαν εἶναι ἐπιστήμην δεῖξαι τῶνδέ τινων ἀξιώσειεν, οἷον βαρέος καὶ ὀξέος τὴν μουσικήν· δοκεῖ γὰρ καὶ οὗτος ὃ μετὰ πλειόνων ἔδει δεῖξαι, καθ᾽ αὑτὸ χωρὶς αἰτεῖσθαι. πάλιν εἴ τις διελὼν αἰτεῖται τὸ πρόβλημα, οἷον εἰ δέον ἅμα δεῖξαι τὴν ἰατρικὴν ἐπιστήμην ὑγιεινοῦ καὶ νοσώδους, χωρὶς ἑκατέρου αὐτὴν ἀξιώσειεν, εἰ δὲ τοῦτο, καὶ ἄμφω. καὶ πέμπτον εἴ τίς τι τῶν ἑπομένων ἀλλήλοις ἐξ ἀνάγκης αἰτήσαιτο· ἑπόμενα δὲ ἐνταῦθα ὥσπερ ἐκεῖνα, εἰ ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ, καὶ ἡ πλευρὰ ἀσύμμετρος τῇ διαμέτρῳ· ἕπεται τῷ ἑτέρῳ τὸ ἕτερον. εἰ οὖν τις διὰ θατέρου πειραθείη δεῖξαι τὸ ἕτερον, τὸ ἐν ἀρχῇ ᾔτηται. φαίνονται δὲ ἐλέγχειν ἐν τοῖς τοιούτοις οἱ σοφισταὶ διὰ τὸ μὴ δύνασθαι τοὺς προσδιαλεγομένους συνορᾶν τὸ ταὐτὸν καὶ τὸ ἕτερον. Ὁ δὲ παρὰ τὸ ἑπόμενον ἔλεγχος γίνεται, ὅταν τὰ μὴ ἀντιστρέφοντα ὡς ἀντιστρέφοντα λαμβάνηται. πάσης γὰρ κατηγορίας ἢ ἐπὶ πλέον ἢ ἐπ᾽ ἴσης οὔσης, καὶ τῆς μὲν ἐπ᾽ ἴσης ἀντιστρεφούσης, ὡς ἐπὶ τῶν ὁρισμῶν ἔχει καὶ τῶν ὁριστῶν καὶ τῶν εἰδῶν καὶ ἰδίων καὶ ἐπὶ τῶν πολυωνύμων, τῆς δὲ ἐπὶ πλέον οὔ, ὡς ἐπὶ τῶν γενῶν καὶ εἰδῶν καὶ τῶν συμβεβηκότων καὶ καθ᾽ ὧν συμβέβηκεν, ὅταν τις τὸ ἐπὶ πλέον κατηγορούμενον καὶ ἑπόμενον ὡς ἐξισάζον λάβοι πρὸς τὸ μερικὸν καὶ ἡγούμενον καὶ ἀντιστρέψῃ, δοκεῖ ἐλέγχειν διὰ τὸ οἴεσθαι ἀντιστρέφειν τὴν ἀκολούθησιν.

29 ὅταν γὰρ τοῦδε ὄντος ἐξ ἀνάγκης τοδὶ ᾖ, καὶ τοῦδε ὄντος οἰόμεθα καὶ θάτερον εἶναι ἐξ ἀνάγκης, ὅθεν καὶ αἱ περὶ τὴν δόξαν ἐκ τῆς αἰσθήσεως ἀπάται γίνονται. πολλάκις γὰρ τὴν χολὴν μέλι ὑπελάβομεν ὅτι ξανθόν· ἕπεται γὰρ τὸ ξανθὸν χρῶμα τῷ μέλιτι. καὶ ἐπεὶ συμβαίνει τὴν γῆν ὕσαντος γίνεσθαι διάβροχον, κἂν ᾖ διάβροχος, ὑπολαμβάνομεν ὗσαι· τὸ δὲ οὐκ ἀναγκαῖον. ἔν τε δὲ τοῖς ῥητορικοῖς αἱ κατὰ σημεῖον ἀποδείξεις ἐκ τῶν ἑπομένων εἰσί· βουλόμενοι γὰρ δεῖξαι ὅτι μοιχὸς ἢ κλέπτης, τὰ ἑπόμενα ἀντιστρέψαντες ἔλαβον, ὅτι καλλωπιστὴς ἢ νύκτωρ πλανᾶται, ἐπὶ πλέον ὄντα· πολλοῖς γὰρ ταῦτα μὲν ὑπάρχει, οὔτε δὲ ἅπας καλλωπίζεται ἐπὶ μοιχείᾳ, οὔτ᾽ εἴ τις νύκτωρ πλανᾶται, κλέπτης. πάλιν, ὁ Δημόκριτος φεύγει πρὸς ἔρημον, ὁ φεύγων εἰς ἔρημον μαίνεται, ὁ Δημόκριτος ἄρα μαίνεται. ἕπεται μὲν γὰρ παντὶ μαινομένῳ φεύγειν πρὸς ἔρημον, οὐ μήν που καὶ εἴ τις φεύγει πρὸς ἔρημον, μαίνεται. οὐ γὰρ καὶ εἴ τις προσφιλοσοφῶν τῇ θεωρίᾳ καὶ διὰ τοῦτο ἡσυχίας ἐρῶν τὰ ἀθορυβώτερα τῶν χωρίων ἐπιζητεῖ, μαίνεται, εἰ μὴ καὶ μᾶλλον ὅ τί περ κεφάλαιον σωφροσύνης ὁ αὐτὸς ἂν καὶ φρονήσεως εἴη.

30 ὁμοίως δὲ κἀν τοῖς λογιστικοῖς ὁ Μελίσσου λόγος ἔχει. ἐπεὶ γὰρ ἕπεσθαί τί τινι διττῶς λέγεται, τὸ μὲν ὡς τὸ καθολικώτερον ἁπλῶς τῷ μερικωτέρῳ οἷα τὰ εἰρημένα, τὸ δὲ ὡς τὰ κατὰ τὴν σὺν 〈ἀντιθέσει〉 ἀντιστροφήν, ἣ τῇ ἀναιρέσει τοῦ ἑπομένου συναναιρεῖ τὸ ἡγούμενον, ὁ Μέλισσος ἁμαρτάνει μὴ καλῶς χρώμενος· οὐ γὰρ τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρεῖ τὸ ἡγούμενον, ἀλλὰ τῇ τοῦ ἡγουμένου τὸ ἑπόμενον. συλλογιζόμενος ὅπως τὸ ὂν ἓν καὶ ἄπειρον οὕτω τίθησι· τὸ ὂν οὐ γέγονεν, τὸ μὴ γεγονὸς ἀρχὴν οὐκ ἔχει, τὸ μὴ ἀρχὴν ἔχον ἄπειρον· εἰ δὲ τοῦτο, καὶ ἕν. τὸ ἄρα ὂν ἓν καὶ ἄπειρον. κατασκευάζει δὲ τὰς προτάσεις τὴν μὲν πρώτην οὕτως· εἰ γὰρ γέγονε τὸ ὄν, ἐξ ὄντος ἂν ἐγένετο πάντως· οὐ γὰρ ἂν ἐκ τοῦ μηδαμῆ μηδαμῶς. ἡμεῖς δὲ τὰ αὐτὰ ἂν εἴποιμεν καὶ περὶ ἐκείνου καὶ περὶ τοῦ ἀνωτέρου καὶ τοῦτο εἰς ἄπειρον· οὐκ ἄρα τὸ ὂν γέγονε. τὴν δὲ δευτέραν τὴν ‘τὸ ἀγένητον ἀρχὴν οὐκ ἔχει‘ κατασκευάζει δῆθεν διὰ τῆς σὺν ἀντιθέσει ἀντιστροφῆς. εἰ γὰρ τὸ γεγονός, φησίν, ἀρχὴν ἔχει, τὸ μὴ γεγονὸς ἀρχὴν οὐκ ἔχει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἔδει δὲ οὕτως, ἀλλ’ ἐκείνως, τὸ μὴ ἀρχὴν ἔχον οὐδὲ γέγονεν. οὐ γὰρ εἴ τι μὴ γέγονε, καὶ ἀρχὴν οὐκ ἔχει, ὥσπερ οὐδ’ εἴ τι μὴ ἄνθρωπος, οὐδὲ ζῷον. [15]

31 τὰ γὰρ οὐράνια σώματα κατὰ τοὺς Ἑλληνικοὺς καὶ παλαιοὺς λόγους ὄντα ἀγένητα ἀρχὴν ἔχει τὸ κέντρον τῆς οἰκείας ὁλότητος. οὕτω δὲ διεψευσμένος ἐν τούτῳ τὰ ἑξῆς ἐπάγει ἀκόλουθα. Ἕκτος δὲ τρόπος ὁ τὸ μὴ αἴτιον ὡς αἴτιον τιθέμενος, ὃς καὶ μὴ παρὰ τοῦτο ἐν ἑτέροις ὠνόμασται. γίνεται δὲ ὅταν προσληφθῇ τὸ ἀναίτιον ὡς παρ’ ἐκεῖνο γινομένου τοῦ ἐλέγχου. συμβαίνει δὴ τὸ τοιοῦτον ἐν τοῖς εἰς τὸ ἀδύνατον συλλογισμοῖς· ἐν τούτοις γὰρ ἀναιρεῖν τι δεῖ τῶν κειμένων. ἐὰν οὖν καταριθμηθῇ ἐν τοῖς ἄλλοις ἐρωτήμασι τοῖς καὶ ἀναγκαιοτέροις καὶ χρησιμωτέροις πρὸς ἐξαπάτην τῷ σοφιστῇ πρὸ τοῦ συμπεράσματος δι’ οὗ συμβαίνει τὸ ἀδύνατον, δόξει παρὰ τοῦτο γίνεσθαι πολλάκις ὁ ἔλεγχος. εἰ γάρ τις θείη τῶν σοφιστῶν τὸ ζῷον παντὶ λευκῷ, εἶτα μὴ συνομολογούντων ἡμῶν πειρᾶται ἐλέγχειν, καὶ δὴ λήψεται τὸ ἀντιφατικῶς ἀντικείμενον τῆς ἡμετέρας προτάσεως μιμούμενος τὸν ἀληθῆ ἔλεγχον· φήσει γὰρ ὡς εἰ ψεῦδος τὸ τὸ ζῷον παντὶ λευκῷ, ἀληθὲς δήπου τὸ μὴ παντί, καὶ οὐκ ἂν δήπου τῷ ἀληθεῖ ἄτοπόν τι ἕψεται, καὶ συλλογίζεται οὕτως· τὸ ζῷον οὐ παντὶ λευκῷ καθ’ ὑμᾶς, τὸ λευκὸν παντὶ πτηνῷ, τὸ πτηνὸν παντὶ κόρακι, τὸ λευκὸν ἄρα παντὶ κόρακι, τὸ ζῷον ἄρα οὐ παντὶ κόρακι. ἀλλὰ μὴν τοῦτο ψεῦδος. [15]

32 ψευδὴς ἄρα καὶ ἡ ὑπόθεσις ᾗ τὸ ἀδύνατον ἠκολού θησεν, αὕτη δ’ ἦν ἡ τὸ ζῷον οὐ παντὶ λευκῷ· λείπεται ἀληθὲς εἶναι τὸ παντί. ἀλλ’ οὐ παρὰ τοῦτο (οὐδὲν γὰρ ἧττον συμβαίνει τὸ ψεῦδος καὶ λείποντος), ἀλλὰ παρὰ τὴν λέγουσαν πρότασιν τὸ λευκὸν παντὶ πτηνῷ. πάλιν λεγόντων ‘ἡ ψυχὴ καὶ ἡ ζωὴ ταὐτὸν τῷ αἰτίῳ‘, ὁ σοφιστὴς ἀναιρῶν οὕτω λέγει, ὡς, εἰ ἀληθές, οὐχ ἕξει τι τῶν ἑπομένων ἀδύνατον, νυνὶ δὲ ἕπεται, οὐκ ἄρα ἀληθές. ἔχει γὰρ οὕτως· εἰ γὰρ τῇ φθορᾷ ἡ γένεσις ἐναντίον ἡ καθόλου τῇ καθόλου, καὶ τῇ τινὶ φθορᾷ τὶς γένεσις ἐναντίον ἔσται· τὶς δὲ φθορὰ ὁ θάνατος· ἕξει ἄρα τινὰ γένεσιν ἐναντίον, ἐναντίον δὲ θανάτῳ οὐκ ἄλλο ἀλλ’ ἢ ζωή, ὥστ’ ἔσται ἡ ζωὴ τὶς γένεσις. εἰ δὲ τοῦτο, καὶ τὸ ζῆν ἔσται γίνεσθαι καὶ τὸ ζῷον, ᾗ ζῇ, γίνεται. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· ἀδύνατον ἄρα καὶ τὸ λέγειν τὴν ψυχὴν καὶ ζωὴν ταὐτόν. ἀλλ’ οὐ παρὰ τοῦτο, οὐδὲ τοῦτο τοῦ ψεύδους αἴτιον (ἀφαιρεθέντος γὰρ πάλιν τὸ ἄτοπον ἔσται), ἀλλὰ τὸ τιθέναι τὸν θάνατον φθοράν· οὐ γὰρ ὁ θάνατος φθορὰ ἀλλὰ διάλυσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος, τοῦτο δὲ οὐ φθορά. οὐ γὰρ ἅπαν τὸ χωρισθὲν ἤδη καὶ ἔφθαρται, ὡς ἐπὶ σίτου καὶ κριθῆς καὶ τῶν ὁμοίων ἔχει· ᾤχετο δ’ ἂν καὶ τὸ σῶμα καὶ ἡ ψυχὴ φθαρέντα τῷ θανάτῳ, νῦν δὲ διαμένει· καὶ ζωὴ μὲν ἐναντίον ἔσται τινὶ λύσει ὅπερ ὁ θάνατος, φθορὰ δὲ τῷ ἀψύχῳ σώματι. [15]

33 ἀσυλλόγιστοι μὲν οὖν οὐκ εἰσὶν οἱ τοιοῦτοι λόγοι, πρὸς δὲ τὸ προκείμενον ἀσυλλόγιστοι, καὶ λανθάνει πολλάκις οὐχ ἧττον αὐτὸς τοὺς ἐρωτῶντας τὸ τοιοῦτον. Οἱ μὲν οὖν παρὰ τὸ ἑπόμενον καὶ παρὰ τὸ μὴ αἴτιον τοιοῦτοι, τὸ δὲ παρὰ τὸ τὰ δύο ἐρωτήματα ἢ καὶ πλείω ἓν ποιεῖν γίνεται, ὅταν λανθάνῃ πλείω ὄντα καὶ ὡς ἑνὸς ὄντος ἀποδοθῇ ἀπόκρισις μία. καὶ ἐπ’ ἐνίων μὲν ῥᾴδιον ἰδεῖν ὅτι πλείω καὶ ὅτι οὐ δοτέον ἀπόκρισιν μίαν, οἷον πότερον ἡ γῆ θάλαττά ἐστιν ἢ ὁ οὐρανός· ἐπ’ ἐνίων δ’ ἧττον, καὶ ὡς ἑνὸς ὄντος ἢ ὁμολογοῦσι τῷ μὴ ἀποκρίνεσθαι τὸ ἐρωτώμενον, ἢ ἀποκρινόμενοι μὴ καλῶς ἐλέγχεσθαι φαίνονται. οἷον ἆρ’ οὗτος καὶ οὗτος ἄνθρωπός ἐστιν; ὥσθ’ ὅταν τις τύπτει τοῦτον καὶ τοῦτον, ἄνθρωπον τύπτει καὶ οὐκ ἀνθρώπους. καὶ πάλιν ὧν τὰ μέν ἐστιν ἀγαθὰ τὰ δ’ οὐκ ἀγαθά, εἰ ὁμοῦ ἐρωτηθέντα ἁπλῶς ἀγαθὰ μόνως ἢ οὐκ ἀγαθὰ δοίη τις, ἁμαρτάνει· ὁπότερον γὰρ ἂν φαίη τῶν τῆς ἀντιφάσεως μορίων, ἔστι μὲν ὡς ἔλεγχον ἢ ψεῦδος φαινόμενον δόξειεν ἂν ποιεῖν· τὸ γὰρ φάναι τῶν μὴ ἀγαθῶν τι εἶναι ἀγαθὸν ψεῦδος, οἷον πότερον ἡ σωφροσύνη καὶ δικαιοσύνη ἀκολασία τε καὶ ἀδικία ἀγαθά; οὔτε γὰρ καταφῆσαι πρὸς ταῦτα καθάπαξ καλόν, οὔτ’ ἀπαρνήσασθαι, τὸ μὲν διὰ τὰς κακίας τὸ δὲ διὰ τὰς ἀρετάς, ἀμφότερα δὲ οὐ διαλεκτικόν. καὶ ταῦτα μὲν οὕτως. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

34 ἐνίοτε δὲ προσληφθέντων τινῶν κἂν ἔλεγχος γίγνοιτο ἀληθινός, οἷον εἴ τις δοίη ὁμοίως ἓν καὶ πολλὰ λέγεσθαι λευκὰ καὶ γυμνὰ καὶ τυφλὰ καὶ οὕτω προτείνοιτο, ἆρά γε ὃ ἐπὶ ἑνός, τοῦτο καὶ ἐπὶ πολλῶν; ναί. τί δαί; εἰ λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, οὐχὶ καὶ ἅπαντα τὰ λευκὰ χρώματα ἔσονται διακριτικὰ ὄψεως, χιών, κύκνος, γάλα καὶ τὰ λοιπά; πάλιν εἰ γυμνόν ἐστι τὸ ἐστερημένον ἐνδύματος, καὶ γυμνὰ ἔσονται τὰ ἐστερημένα ἐνδύματος· ἀλλὰ μὴν κίονες, λίθοι, ξύλα ἐστέρηνται μὲν ἐνδύματος, γυμνὰ δὲ οὐ λέγονται. ἔτι εἰ τυφλὸν τὸ μὴ ἔχον ὄψιν πεφυκὸς δὲ ἔχειν, οὐχὶ καὶ πάντα τυφλὰ ἔσται τὰ μὴ ἔχοντα ὄψιν, πεφυκότα δὲ ἔχειν; ἔσται γοῦν ἄμφω τὰ σκυλάκια, τό τε διὰ πήρωσιν μὴ ὁρῶν, ὃ καὶ κυρίως τυφλόν, καὶ τὸ μήπω βλέπον διὰ τὴν ἡλικίαν, ὃ καταχρηστικῶς οὕτω λέγομεν, ὁμοίως τυφλά. Ἢ δὴ οὕτω διαιρετέον τοὺς φαινομένους συλλογισμοὺς καὶ ἐλέγχους, ὡς τοὺς μὲν παρὰ τὴν λέξιν τίθεσθαι, τοὺς δὲ παρὰ τὰ πράγματα καὶ τῆς λέξεως ἐκτός, καὶ τοσούσδε κατ' εἴδη καὶ τοιούσδε προσονομάζειν, ὥσπερ δὴ καὶ ἐκτέθεινται, ἢ πάντας ἀνακτέον εἰς τὴν τοῦ ἀληθοῦς ἐλέγχου ἄγνοιαν, ἀρχὴν ταύτην ποιησαμένους. ἔστι γὰρ ἅπαντας ἀναλῦσαι τοὺς λεχθέντας εἰς τὸν τοῦ ἐλέγχου διορισμόν· παρὰ γὰρ τὸ ἀγνοεῖν τοὺς προσδιαλεγομένους, ὁπόσα φυλάττεσθαι χρὴ τὸν ἀληθῶς ἐλέγξοντα καὶ ποῖα, τόπον οἱ σοφισταὶ πρὸς ἀπάτην εὑρίσκουσι. καὶ πρῶτον μὲν καθ' ἓν τοῦτο πάντας ἀνάξομεν, εἴπερ πάντες ἀσυλλό γιστοι, ὁ δὲ ἔλεγχος συλλογισμός τις· δεῖ γὰρ ἐκ τῶν κειμένων συμβαίνειν τὸ συμπέρασμα, ὥστε λέγειν ἐξ ἀνάγκης ἀλλὰ μὴ φαίνεσθαι. [20]

35 ἔπειτα καὶ κατὰ μέρη τοῦ διορισμοῦ. ἐπεὶ γὰρ ὁ ἀληθὴς ἔλεγχος ἀντίφασίς ἐστι τοῦ αὐτοῦ καὶ ἑνὸς ὀνόματος καὶ πράγματος, τῶν δὲ ἐν τῇ λέξει σοφισμάτων τὰ παρὰ τὸ διττόν, οἷον ἡ ὁμωνυμία καὶ ἀμφιβολία καὶ ἡ ὁμοιοσχημοσύνη (σύνηθες γάρ, ὡς κἀν τοῖς ἔμπροσθεν ἐλέγετο) πάντα ταῦτα ὡς τόδε τι σημαίνει καὶ ἕν, τὸ κύων, τὸ σιγῶντα λέγειν, τὸ ἀλγεῖν καὶ ποιεῖν, πῶς ἂν εἶεν ἔλεγχοι ἀληθεῖς ἢ συλλογισμοὶ πρότασιν ὑγιᾶ μὴ ἔχοντες; ἡ δέ ἐστιν ἡ ἓν καθ' ἑνὸς σημαίνουσα. ἡ δὲ σύνθεσις καὶ διαίρεσις καὶ ἡ προσῳδία ἐκπίπτουσι πάλιν διὰ τὰ αὐτὰ ἴσως, καὶ τὸ μὴ τὸν αὐτὸν εἶναι τὸν λόγον συντιθέμενον ἢ διαιρούμενον ἢ τὸ ὄνομα τὸ διαφέρον· ἄλλο γὰρ σημαίνει ὅρος δασυνόμενον καὶ ἄλλο ψιλούμενον· ἔδει δὲ καὶ τοῦτο καθάπερ τὸ πρᾶγμα ταὐτὸν εἶναι, εἰ μέλλει ἔλεγχος ἢ συλλογισμὸς ἔσεσθαι. νυνὶ δὲ ὅρος δοὺς τὸν ὁρισμὸν δασυνόμενον τὸ ὄρος συνάγει ψιλούμενον. ὁ μέντοι γε φιλοσόφως συλλογιζόμενος οὐδ' ἐπὶ τῶν πολυωνύμων καὶ ἐφ' ὧν ἓν τὸ πρᾶγμα κἀν τοῖς διαφόροις ὀνόμασιν ἕτερον ἀνθ' ἑτέρου συναγαγεῖν ἐπιβαλεῖ, μήτοι γε ἐν τοῖς τοσοῦτον διεστηκόσιν. οὐ γὰρ λώπιον ἐν προτάσει δοὺς ἱμάτιον συμπεράναιτο ἀλλὰ λώπιον· πρὸς γὰρ τῷ τὴν παράδοσιν ἐκκλίνειν τῷ μὴ ἐκ τῶν κειμένων συνάγειν καὶ δευτέρας ἐρωτήσεως χρεία, εἴ περ ταὐτὸ σημαίνει τῷ ἱματίῳ, πρὸς τὸν ζητοῦντα τὸ διὰ τί. [15]

36 οἷον εἴ τις οὕτω τίθησι 'τὸ λώπιον κρύους καὶ καύσωνος κωλυτικὸν τῷ σώματι· τὸ τοιῶνδε παρεκτικὸν χρήσιμον', τὸ λώπιον ἄρα χρήσιμον· ἀληθὲς μὲν γὰρ καὶ τὸ ἱμάτιον ἀντὶ τοῦ λωπίου χρήσιμον εἰπεῖν, ἀλλ' οὐ συλλελόγισται, καὶ προσερωτήσει δὲ εἴ τις κοινωνία λωπίου καὶ ἱματίου. Καὶ οὕτω μὲν οἱ ἐν τῇ λέξει ἓξ παραλογισμοὶ παρὰ τὸν πρῶτον διορισμὸν εἰς τὴν τοῦ ἐλέγχου ἀνήχθησαν ἄγνοιαν· οὐδεὶς γὰρ τὸ αὐτὸ τοῦ αὐτοῦ κατέφησε καὶ ἀπέφησεν· οἱ δὲ παρὰ τὸ συμβεβηκός, ἵνα καὶ πρὸς τοὺς ἐκτὸς τῆς λέξεως ἀπίδωμεν παραλογισμούς, ὁρισθέντος τοῦ συλλογισμοῦ φανεροὶ γίνονται διαμαρτόντες. τὸν δὲ αὐτὸν ὁρισμὸν δεῖ καὶ τοῦ ἐλέγχου εἶναι ὅνπερ καὶ τοῦ συλλογισμοῦ, πλὴν προσκεῖσθαι τὴν ἀντίφασιν· ἔστι γὰρ ἔλεγχος συλλογισμὸς ἀντιφάσεως ἐχούσης τοὺς εἰρημένους διορισμούς. εἰ οὖν μὴ ἔστι συλλογισμὸς τοῦ συμβεβηκότος, οὐδὲ ἔλεγχος ἐγχωρεῖ εἶναι ἀπὸ τοῦ συμβεβηκότος. οὐκ ἔστι δέ· οὐ γὰρ εἰ τούτων ὄντων ἀνάγκη τόδε εἶναι, καὶ τοῦδε τόδε, ἤδη ἀνάγκη καὶ τὸ πρῶτον τῷ ἐσχάτῳ ἐνεῖναι, οἷον εἰ τοῦ κύκνου λευκοῦ ὄντος, τὸ δὲ χρῶμα, οὐκ ἤδη ὁ κύκνος χρῶμα. οὐδ' εἰ τὸ τρίγωνον δυοῖν ὀρθαῖν τὰς τρεῖς γωνίας ἴσας ἔχει, συμβέβηκε δὲ αὐτῷ σχήματι εἶναι ἢ πρώτῳ ἢ

ἀρχῇ, ἤδη καὶ πᾶν σχῆμα τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας ἔχει· πάλαι γὰρ τὸ οὕτω λέγειν ἐλήλεγκται· οὐ γὰρ ᾗ σχῆμα οὐδ’ ᾗ πρῶτον, ἀλλ’ ᾗ τρίγωνον ἡ ἀπόδειξις πρόεισιν. [15]

37 πρῶτον δὲ καὶ ἀρχὴ τῶν σχημάτων τὸ τρίγωνον, εἴπερ τούτῳ τἆλλα καὶ συντίθεται καὶ διαλύεται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὥστε εἰ ὁ ἔλεγχος συλλογισμός τις, οὐκ ἂν εἴη ἔλεγχος κατὰ συμβεβηκὸς ἀληθής. ἀλλὰ παρὰ τοῦτον καὶ οἱ τεχνῖται καὶ ὅλως οἱ ἐπιστήμονες ὑπὸ τῶν ἀνεπιστημόνων ἐλέγχονται· κατὰ συμβεβηκὸς γὰρ ποιοῦνται τοὺς συλλογισμοὺς πρὸς τοὺς εἰδότας. οἱ δὲ οὐ δυνάμενοι διαιρεῖν, ποῖα δεῖ κατηγορεῖν καὶ ὅπως, ἢ ἐρωτώμενοι διδόασιν ἢ οὐ διδόντες οἴονται δεδωκέναι. Οἱ δὲ παρὰ τὸ πῆ καὶ ἁπλῶς παραλογισμοὶ ἀνάγονται εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν καὶ αὐτοί, ὅτι οὐ τοῦ αὐτοῦ ἡ κατάφασις καὶ ἀπόφασις· τοῦ γὰρ πῆ λευκοῦ τὸ πῆ οὐ λευκόν, τοῦ δὲ ἁπλῶς λευκοῦ τὸ ἁπλῶς οὐ λευκὸν ἀπόφασις. εἰ οὖν δόντος τὸ πῆ εἶναι λευκὸν τὸν Αἰθίοπα ὡς ἁπλῶς εἰρημένον λαμβάνει, οὐ ποιεῖ ἔλεγχον· οὐ γὰρ ἐκ τῶν δεδομένων συλλογίζεται, φαίνεται δὲ διὰ τὴν ἄγνοιαν τοῦ τί ἐστιν ἔλεγχος. Φανερώτατα δὲ πάντων οἱ πρότερον λεχθέντες παραλογισμοί, λέγω δὴ τοὺς περὶ τὴν λέξιν, παρὰ τὸν τοῦ ἐλέγχου γίνονται διορισμόν, διὸ καὶ οὕτω προσηγορεύθησαν· παρὰ γὰρ τοῦ λόγου τὴν ἔλλειψιν καὶ τὸ ὑπερβαίνειν τῶν ἐν τῷ τοῦ ἀληθοῦς ἐλέγχου ὁρισμῷ τηρουμένων ἡ φαντασία τῆς ἀπάτης γίνεται. [15]

38 διαιρουμένοις οὖν οὕτω τοῖς τοιούτοις σοφίσμασι κοινὸν ἐπὶ πᾶσι θετέον τὴν τοῦ ὁριστικοῦ λόγου ἔλλειψιν. Πάλιν δὲ ἐπὶ τοὺς ἐκτὸς τῆς λέξεως ἐρχόμενοι λέγομεν, ὡς καὶ οἱ λαμβάνοντες τὸ ἐν ἀρχῇ καὶ οἱ τὸ ἀναίτιον ὡς αἴτιον τιθέμενοι δῆλοι διὰ τοῦ ὁρισμοῦ τοῦ ἀληθοῦς ἐλέγχου ὡς παρὰ τὴν τούτου ἄγνοιαν καὶ τὴν ἔλλειψιν γίνονται. δεῖ γὰρ ἐν τοῖς κυρίως συλλογισμοῖς τὸ συμπέρασμα γίνεσθαι τῷ ταῦτα εἶναι καὶ ὡς ἀπ’ αἰτίων γεννᾶσθαι τῶν προτάσεων ἕτερον ὂν ἐκείνων, ὅπερ οὐκ ἦν ἐν τοῖς ἀναιτίοις, καὶ μὴ συναριθμεῖσθαι τὸ ἐξ ἀρχῆς, ὅπερ οὐκ ἔχουσιν οἱ παρὰ τὴν αἴτησιν τοῦ ἐν ἀρχῇ. Οἱ δὲ παρὰ τὸ ἑπόμενον μέρος εἰσὶ τοῦ συμβεβηκότος, καὶ εἰ ἐκεῖνοι πίπτουσι τοῦ διορισμοῦ ἐκτός, καὶ οὗτοι· οὗ γὰρ τὸ ὅλον, καὶ τὸ μέρος. διαφέρουσι δὲ καὶ ἀλλήλων τῷ τοὺς μὲν κατὰ συμβεβηκὸς περαίνειν ἁπλῶς καὶ μὴ ἀντιστρέφειν, τοὺς δὲ παρὰ τὸ ἑπόμενον ἀντιστρέφειν, καὶ ὥσπερ δὶς τὸ αὐτὸ λαμβάνειν τῇ μεταποιήσει. διὰ τοῦτο καὶ τὸν μὲν ἐφ’ ἑνὸς λέγομεν τὸν δὲ ἐν πλείοσι· τὰ γὰρ ἑνὶ ταὐτὰ καὶ ἀλλήλοις ἀξιοῦμεν. ἔστι δ’ οὐ πάντως ἀληθῶς· οὐ γάρ, εἰ ὁ κύκνος λευκόν, καὶ τὸ λευκὸν πάντως κύκνος. [15]

39 ἢ πάλιν ὡς ἐν τῷ Μελίσσου λόγῳ τὸ αὐτὸ εἶναι λαμβάνει τὸ γεγονέναι καὶ ἀρχὴν ἔχειν· ἐπεὶ γάρ, φησί, τὸ γεγονὸς καὶ τὸ πεπερασμένον εἰσὶ ταὐτὰ τῷ ἔχοντι ἀρχήν, ἔσται λοιπὸν καὶ τὸ γεγονὸς καὶ τὸ ἔχον ἀρχὴν ταὐτά. ἢ τὸ ἴσοις γίνεσθαι καὶ τὸ αὐτὸ μέγεθος λαμβάνειν· οὐ γάρ, εἰ τὰ τὸ αὐτὸ κατὰ ποσὸν μέγεθος λαμβάνοντα ἴσα γίνεται, καὶ τὰ ἴσα γινόμενα ἓν μέγεθος λαμβάνει, οἷον εἴπερ Σωκράτης καὶ Θεαίτητος ἴσοι (τριπήχεις γὰρ ἄμφω), ἤδη που καὶ ἓν κατ’ ἀριθμὸν καὶ ταὐτὸν μέγεθος ἔχουσιν. ἐπὶ πᾶσι γὰρ τὸ ἑπόμενον καθόλου ὡς ἰσάζον λαμβάνει. ἐπισκεπτόμενοι δὲ καὶ ἄλλως οἱ τοιοῦτοι παραλογισμοὶ τὸ ἀσύστατον ἔχουσιν. δύο γὰρ καταφάσεις ἐν δευτέρῳ λαμβάνουσι σχήματι. Οἱ δὲ παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν ἐν τῷ μὴ διαρθροῦν ἡμᾶς τὸν τῆς προτάσεως λόγον. πρότασις γάρ ἐστιν ἡ ἓν καθ’ ἑνὸς κατηγοροῦσα ἢ ἀποφάσκουσα· ἑκάτερος γὰρ τῶν κειμένων ὅρων ἓν ἀξιοῦται σημαίνειν πρᾶγμα, οἷον ἄνθρωπος καὶ λευκὸν ἑνὸς ἑκάτερος ἔσται δηλωτικὸς καὶ οὐ πλειόνων· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. εἰ οὖν μία πρότασις ἡ ἓν καθ’ ἑνὸς ἀξιοῦσα, καὶ ἁπλῶς ἔσται πρότασις ἡ τοιαύτη ἐρώτησις. ἐπεὶ δὲ συλλογισμὸς ἐκ προτάσεων, ἡ δὲ πρότασις ἓν καθ’ ἑνός, φανερὸν ὅτι καὶ οὗτος ἔσται ἐν τῇ ἐλέγχου ἀγνοίᾳ· φαί νεται γὰρ εἶναι πρότασις ἡ οὐκ οὖσα πρότασις. [15]

40 ἂν τοίνυν πλειόνων ἐρωτημάτων προτεθέντων παρὰ τοῦ σοφιστοῦ ἐποιήσατο τὴν ἀπόκρισιν ὁ προσδιαλεγόμενος ὡς πρὸς μίαν ἐρώτησιν, ἔσται ἔλεγχος· εἰ δὲ μὴ δέδωκε φανερῶς, ἀλλὰ

φαίνεται τῷ σιωπῆσαι ἢ τῷ διστάσαι, φαινόμενος. ὥστε πάντες οἱ τρόποι πίπτουσιν εἰς τὴν τοῦ ἐλέγχου ἄγνοιαν. τί δὲ κωλύει καὶ πάλιν ἀναλαβεῖν καὶ δὶς τὰ αὐτὰ διὰ τὸ σαφέστερον ἐπελθεῖν καὶ λύσιν τινὰ μετρίαν πρὸ τῆς ἀκριβεστέρας καὶ μείζονος κἀντεῦθεν δοῦναι τοῖς παραλογισμοῖς; οἱ μὲν οὖν παρὰ τὴν λέξιν, ὡς εἴρηται, πεσοῦνται πάντες ἐκτὸς τοῦ διορισμοῦ, ὅτι οὐκ ἀληθῆ συνάγουσιν ἀντίφασιν, ὅπερ ἦν τοῦ κυρίως ἐλέγχου, ἀλλὰ φαινομένην· τὸ γὰρ κύων ὑλακτεῖ, κύων οὐχ ὑλακτεῖ οὐκ ἀντίφασις, ὡς συναληθεύουσα ἐπ’ ἄλλου καὶ ἄλλου λαμβανομένη· οἱ δ’ ἄλλοι παρὰ τὸν τοῦ συλλογισμοῦ ὁρισμὸν ἐλλείψαντός του τῶν παρατετηρημένων οἷς ὅ τε ἁπλῶς συνίσταται συλλογισμὸς καὶ ὁ ἀληθὴς ἔλεγχος. Γίνεται γοῦν ἡ ἀπάτη ἐν τοῖς παρὰ τὴν λέξιν σοφίσμασι τῶν μὲν παρὰ τὴν ὁμωνυμίαν καὶ τὸν ἀμφίβολον λόγον τῷ μὴ δύνασθαι διαιρεῖν ἡμᾶς τὸ πολλαχῶς λεγόμενον. ὁ γὰρ συναισθόμενος, κατὰ πόσων σημαινομένων τὸ κύων ἢ τὸ σιγῶντα φέρεται, καὶ διελόμενος ἧττον ἐν τοῖς τοιούτοις ἀπατηθήσεται· ἐργῶδες δὲ τοῦτο ποιεῖν αὐτίκα καὶ τοῖς εἰς ἄκραν ἕξιν λογικὴν ἀφιγμένοις.

41 ἔστι γὰρ ἃ κἀκείνοις οὐκ εὔπορον διελεῖν ἀγωνιζομένοις ἀθρόως, οἷον τὸ ὄν, τὸ ἓν καὶ τὸ ταὐτόν. ἴσως δ’ ἂν διαιρεθεῖεν τό τε ὂν ἐν τοῖς δέκα γένεσι καὶ ἐν τῷ δυνάμει καὶ ἐνεργείᾳ, καὶ ταὐτόν τι ἕτερον ἑτέρῳ πάλιν ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ· κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ ἕν. τῶν δ’ αὖ περὶ τὴν σύνθεσιν καὶ διαίρεσιν ἡ ἀπάτη τῷ μηθὲν οἴεσθαι διαφέρειν συντιθέμενον τὸν λόγον ἢ διαιρούμενον καὶ καταφρονεῖν ὡς οὐδὲν πρᾶγμα· τὸ δὲ διαφέρει πάμμεγα. καὶ ἴσως ἔν τισι ταὐτὸν καὶ ἡνωμένος καὶ διῃρημένος ὁ λόγος σημαίνει ὡς ἐπὶ τῶν ὁρισμῶν ἔχει, οὐκ ἐπὶ πάντων δέ. ὁμοίως δὲ καὶ τῶν παρὰ τὴν προσῳδίαν ἡ ἀπάτη· οὐ γὰρ ἄλλο δοκεῖ σημαίνειν τοῖς ἐρωτωμένοις ἀνιέμενος καὶ ἐπιτεινόμενος ὁ λόγος. ἐπ’ οὐδενὸς γὰρ ἢ οὐκ ἐπὶ πολλῶν τὸ τοιοῦτον εὕροι τις ἄν· ἐπὶ γὰρ τῶν πλείστων πρὸς τὴν διαφορὰν τοῦ τόνου ἢ τοῦ πνεύματος καὶ ἡ τῆς λέξεως ἀκολουθεῖ σημασία. Θάλης μὲν γὰρ καὶ Θαλῆς ταὐτὸν σημαίνει· ἄμφω γὰρ ἑνὸς ὀνόματα κύρια· τὸ δὲ ἄγνος καὶ ἁγνὸς καὶ ἀργὸς καὶ Ἄργος ἕτερα. ποικίλη δὲ καὶ ἡ κατὰ τὴν ὁμοιότητα τῆς λέξεως ἀπάτη, οἷον ἐπὶ τῶν ῥημάτων· ἢ γὰρ ἐνεργητικῶς μὲν προφέρονται, πάθος δὲ σημαίνουσιν, ὡς τὸ ὁρᾶν καὶ ἀκούειν, ἢ τὸ ἀνάπαλιν, ὡς ἀγωνίζεσθαι, μέμφεσθαι. ἔτι δὲ τὸ κινεῖν καὶ τὸ νοσεῖν ὅμοια μὲν τῇ προφορᾷ, ὥσπερ καὶ τὸ τύπτεσθαι καὶ λοιδορεῖσθαι, ἕτερα δὲ τῷ σημαινομένῳ· τὸ μὲν γὰρ ἐνέρ γειαν ἐν ἀμφοτέροις τὸ δὲ πάθος παριστάνει.

42 ὅταν γοῦν ἁπλῶς τὰ τῇ προφορᾷ ταὐτὰ καὶ τῷ πράγματι θήσομεν, ἀπατώμεθα· χαλεπὸν γὰρ ἐν τούτοις διελεῖν, ποῖα ὡσαύτως καὶ ποῖα ὡς ἑτέρως λέγεται· σχεδὸν γὰρ ὁ τοῦτο δυνάμενος ποιεῖν ἐγγύς ἐστι τοῦ θεωρεῖν τὸ ἀληθές. μάλιστα δὲ ἐπίσταται συνεπινεύειν καὶ συμπείθειν ταὐτὰ τὰ ἕτερα οἴεσθαι οὐ μόνον τὸ ἀδυνατεῖν διαιρεῖν ἀπ’ ἀλλήλων τὰ ἐνεργοῦντα ἢ πάσχοντα, ἀλλὰ καὶ τὸ ὑπολαμβάνειν τὸ καθόλου ταὐτὸν εἶναι τῷ μερικῷ· ἄνθρωπος γὰρ ὅ τε καθόλου καὶ ὁ Σωκράτης ὁμοίως ἑνικῶς προφέρονται. ὅταν γάρ τι κατά τινος κατηγορῆται, ὑπολαμβάνομεν ἐν τῷ σχήματι τῆς προσηγορίας τόδε τι εἶναι καὶ ἑνιαῖον καὶ μερικὸν καὶ τῷ ἀριθμῷ ἕν. οὐχ οὕτω δὲ ἐν πᾶσιν ἔχει, ἀλλὰ τῇ μὲν μερικῇ καὶ ἀτόμῳ οὐσίᾳ τοῦτο κἂν δοίη τις (ταύτῃ γὰρ δοκεῖ μάλιστα παρέπεσθαι τὸ τόδε τι καὶ τὸ ὡρισμένον καὶ μοναδικὸν ὄν), ταῖς μέντοι καθόλου καὶ ἁπλῶς, τοῖς γένεσι καὶ τοῖς εἴδεσιν, οὐ τὸ τόδε μᾶλλον ἢ τὸ τοιόνδε προσήκει· ποιὰν γάρ τινα πλήθους ἀφορίζεται σχέσιν. τάττεται δὲ ὁ παρὰ τὸ σχῆμα τρόπος ἐν τοῖς παρὰ τὴν λέξιν σοφίσμασι. πρῶτον μὲν οὖν ἐν τούτοις ἡ ἀπάτη γίνεται μετ’ ἄλλων σκοπουμένοις ἢ καθ’ αὑτούς· ἡ μὲν γὰρ μετ’ ἄλλου σκέψις διὰ λόγων καὶ ὀνομάτων, ἡ δὲ καθ’ αὑτὸν οὐχ ἧττον δι’ αὐτοῦ τοῦ πράγματος. συμβαίη δ’ ἄν ποτε καὶ καθ’ αὑτὸν ἀπατηθῆναι, ὅταν πρὸς τὸν λόγον ἢ τὰ ὀνόματα τὴν σκέψιν ποιῆται.

43 δεύτερον δὲ ὅτι ἡ μὲν ἀπάτη ἐκ τῆς ὁμοιότητος, ἡ δὲ ὁμοιότης ἐκ τῆς λέξεως. τῶν δὲ παρὰ τὸ συμβεβηκὸς καὶ ἐκτὸς τῆς λέξεως διὰ τὸ μὴ δύνασθαι διακρίνειν τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ ἓν καὶ πολλά, μηδὲ ποῖα τῶν κατηγορημάτων τῷ τε κατηγορουμένῳ καὶ τῷ ὑποκειμένῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταυτίζεται, ποῖα δ' οὔ· οὐ γὰρ ἓν τὸ ἐν κύκνῳ λευκὸν καὶ ὁ κύκνος οὐδὲ ταὐτόν, εἰ καὶ τὸ ὑποκείμενον ἓν ὥσπερ ἀνάβασις καὶ κατάβασις. ὁμοίως δὲ καὶ τῶν παρὰ τὸ ἑπόμενον. ὅτι γὰρ ἐπὶ πολλῶν φαίνεται τὸ ἑπόμενον ἀντιστρέφειν, ὡς ἐπί τε τῶν ἰδίων καὶ τῶν εἰδῶν καὶ τῶν ὁρισμῶν καὶ ὁριστῶν, καὶ ἐπὶ πάντων οὕτως ἔχειν ἀξιοῦται. οὐκ ἔστι δέ· οὐ γάρ, εἰ τόδε ἀπὸ τοῦδε μὴ χωρίζεται, οὐδὲ θάτερον ἀπὸ θατέρου, οἷον εἴπερ τὸ μέλι τοῦ ξανθοῦ ἐκτὸς οὐχ εὑρίσκεται, καὶ τὸ ξανθὸν ἤδη τοῦ μέλιτος ἀχώριστον. τῶν δὲ παρὰ τὴν ἔλλειψιν τοῦ λόγου καὶ τῶν παρὰ τὸ πῆ καὶ ἁπλῶς ἐν τῷ παρὰ μικρὸν ἡ ἀπάτη· ὡς γὰρ οὐδὲν προσσημαῖνον τὸ τὶ ἢ πῆ ἢ τὸ ἁπλῶς ἢ τὸ πῶς ἢ τὸ νῦν καθόλου συγχωροῦμεν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τὸ ἐν ἀρχῇ λαμβανόντων καὶ τῶν ἀναιτίων, καὶ ὅσοι τὰ πλείω ἐρωτήματα ὡς ἓν ποιοῦσιν· ἐν ἅπασι γὰρ ἡ ἀπάτη διὰ τὸ παρὰ μικρόν. οὐ γὰρ ἀκριβοῦμεν οὔτε τῆς προτάσεως οὔτε τοῦ συλλογισμοῦ τὸν ὅρον τῷ μηδὲν ὑφορᾶσθαι ἀπαντή σειν τῇ βραχύτητι τοῦ παροφθέντος καὶ τῷ μᾶλλον συγκεχύσθαι ἐν ταῖς μετ' ἄλλου σκέψεσιν. [15]

44 Ἐπεὶ δ' ἔχομεν παρ' ὅσα γίνονται οἱ φαινόμενοι συλλογισμοί, ἔχομεν καὶ παρ' ὁπόσα οἱ σοφιστικοί· ταὐτὸν γὰρ ἄμφω, ἢ μικρὸν τὸ διάφορον. παρὰ δὲ τοὺς τρισκαίδεκα τρόπους ἐκεῖνοι· παρὰ τοσούτους καὶ οὗτοι. καλῶ δὲ σοφιστικὸν καὶ φαινόμενον ἔλεγχον οὐ μόνον τὸν ἁμαρτόντα τοῦ εἴδους τοῦ συλλογιστικοῦ, ὡς ἂν ἐκ δύο μερικῶν ἢ ἀποφατικῶν ἔν τινι τῶν σχημάτων ἢ ἐξ ὅλων καταφατικῶν ἐν τῷ μέσῳ πλεκόμενον, ἀλλὰ καὶ τὸν ὑγιαίνοντα μὲν ἐν τούτῳ, φαινόμενον δὲ καὶ οἰκεῖον τοῦ πράγματος ὡς ἂν ἐκ τῶν ἀρχῶν τῆς προκειμένης ἐπιστήμης ἀγόμενον, μὴ μέντοι διὰ τέλους τοῦτο φυλάττοντα, ἀλλὰ τοῖς ἀληθέσιν ἔξω ψευδῆ παρενείροντα. εἰσὶ δ' οὗτοι οὓς καὶ πειραστικοὺς ἐν τοῖς κατ' ἀρχὰς ὡριζόμεθα. τὸ γὰρ δεικνύειν τὴν μίαν τοῦ τριγώνου πλευρὰν μείζονα τῶν λοιπῶν ἐναντίον ἢ τὸ ἀληθὲς ἔχει· παντὸς γὰρ τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντη μεταλαμβανόμεναι. πῶς μὲν γεωμετρικὸς ὁ λόγος, τῷ ἁπλῶς τρίγωνα λαμβάνειν καὶ γραμμὰς ἐκτείνειν καὶ κύκλους περιάγειν, τῷ δ' αὖ ἄγειν μὴ ὡς ἂν ἀχθεῖεν, καὶ γράφειν μὴ ὡς ἂν γραφεῖεν οὐ γεωμετρικός. ὅθεν συνθλίβει μὲν ὁ πειραστικὸς εἰς ἀντιφάσεις τὸν προσποιούμενόν του ἐπιστήμονα εἶναι καὶ ἐπ' ὠφελείᾳ ἔστιν οἷς (ἀφαιρεῖται γὰρ αὐτῶν τὴν ματαίαν δοξοσοφίαν), φαινόμενος δέ, ὥς γε εἴρηται, οἰκεῖος τοῦ πράγματος πάντη οὐκ ἔστιν· οὐ γὰρ ἂν ἴσχυσεν ἐλέγξαι τοιοῦτος ὁ παρὰ Πλάτωνι Εὐθύφρων καὶ Γοργίας. [15]

45 ἐπεὶ δὲ ἡ διαλεκτικὴ ἐκ τῶν κοινοτάτων ἀρχῶν καὶ ἐνδόξων λαμβάνει, ἐδείχθη δὲ καὶ ἡ πειραστικὴ ἐκ τῶν προσεχῶν τῇ κατὰ μέρος ἐπιστήμῃ καὶ ἰδίων, εἴη ἄν τις ἐν ταύταις κοινωνία, καὶ ἔστιν ἡ πειραστικὴ μέρος τῆς διαλεκτικῆς, καὶ δύναται ψεῦδος συλλογίζεσθαι δι' ἄγνοιαν τοῦ διδόντος τὸν λόγον. διαφέρουσι δὲ ἀμφότεραι τῆς σοφιστικῆς ὡς αἱ μὲν δῆλον ποιοῦσιν ἀντίφασιν συλλογιζόμεναι τῆς τοῦ ἀποκρινομένου θέσεως (οὐ γὰρ ἐρωτῶσιν ὁμώνυμα καὶ ἀμφίβολα καὶ τοιαῦτά τινα), οἱ μέντοι σοφισταὶ ἄν ποτε καὶ συλλογίζονται τὴν ἀντίφασιν, οὐ ποιοῦσι δῆλον εἰ ἀγνοεῖ ὁ προσδιαλεγόμενος· καὶ γὰρ τὸν εἰδότα ἐμποδίζουσι τούτοις τοῖς λόγοις· ὁμώνυμα γὰρ ἐρωτώντων καὶ ἀμφίβολα οὐδεὶς οἶδε τῶν ἀκροωμένων, εἰ τὴν ἀντίφασιν συνάγουσι. Τοσαῦτα γοῦν παρειπόντες πάλιν ἀνιόντες λέγομεν. ὅτι μὲν οὖν ἔχομεν πάντας τοὺς ἐριστικοὺς τρόπους τῇ αὐτῇ μεθόδῳ δῆλον. ἔτι δὲ καὶ ἐντεῦθεν· παρ' ὅσα γὰρ φαίνεται τοῖς ἀκούουσιν ὡς ἠρωτημένα συλλελογίσθαι καλῶς, παρὰ ταῦτα κἂν τῷ ἀποκρινομένῳ δόξει. ἀπατηθήσεται δὲ ὁ ἀκροατὴς ἢ διὰ τὴν ὁμωνυμίαν ἢ ἀμφιβολίαν ἢ ἄλλο τι τῶν ἀπηριθμημένων, καὶ ὁ ἀποκρινόμενος παρά τι τούτων κατασεσοφίσθαι δόξει· ὃ γὰρ μὴ ἐρωτώμενός τις ἔνδοθεν καὶ σιγῶν καλῶς ἠρωτῆσθαι ἐνόμισε καὶ συνένευσε, κἂν ἐρωτηθεὶς θείη, καὶ ἄλλῳ ἐρωτωμένῳ μὴ διδόντι δυσχερανεῖ. [15]

46 οἱ γὰρ ἀκροαταὶ ἐν ταῖς διαλέξεσι κριταὶ τῆς νίκης τοῖς ἀγωνιζομένοις κάθηνται· ὡς γοῦν οὗτοι διατεθῶσι, τοῖς λόγοις τὸ κῦρος ἕπεται. πλὴν ἐπί τινων διὰ τὸ πρόδηλον, οἷον ἐν τοῖς παρὰ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέξιν καὶ τὸν σολοικισμὸν συμπεραινομένου τοῦ σοφιστοῦ οὐκ ἄφωνοι μένουσιν οὔθ' οἱ ἀκροαταὶ οὔθ' οἱ ἀποκρινόμενοι, ἀλλ' ἅμα συμβαίνει προσερωτᾶν αὐτοὺς τὸ ἐνδεὲς καὶ τὸ ψεῦδος ἐμφανίζειν, οἷον ὁ Σωκράτης καθήμενος βαδίζει (ἐλέγξει γάρ, ὡς παρείθη τὸ δύναται), καὶ ἔστιν ἄρα λίθον· οὔ φασιν, ἀλλ' ἔστι λίθος. εἰ οὖν οἱ παραλογισμοὶ τῆς ἀντιφάσεως παρὰ τὸν φαινόμενον ἔλεγχόν εἰσι, δῆλον ὅτι παρὰ τοσαῦτα ἂν καὶ τῶν ψευδῶν εἴησαν συλλογισμοί. ὁ δὲ φαινόμενος ἔλεγχος παρὰ τὴν ἔκπτωσιν τῶν μορίων τοῦ ἀληθοῦς, καὶ εἴπερ οὐκ ὄχλος τὰ αὐτὰ διὰ τὸ σαφὲς πολλάκις λέγειν, ἐπεὶ ἀληθὴς ἔλεγχός ἐστιν ἀντίφασις τοῦ αὐτοῦ καὶ ἑνὸς καὶ τἄλλα, φανείη ἂν ψευδὴς ἔλεγχος ἑκάστου τῶν μορίων ἐκλείποντος τῶν κατὰ τὸν ἀληθῆ. οἷον ὁ παρὰ τὸ μὴ αἴτιον τιθέμενος ὡς αἴτιον καὶ ἀπάγων εἰς τὸ ἀδύνατον οὐκ ἐκ τῶν κειμένων ἤχθη οὐδὲ τῷ ταῦτα εἶναι συμ βέβηκεν (ἔδει δέ), καὶ ὁ τὰς δύο ἐρωτήσεις μίαν ποιῶν παρὰ τὴν πρότασιν, ὅ τε κατὰ συμβεβηκὸς παρὰ τὴν ἔλλειψιν τοῦ καθ' αὑτό (τούτῳ συνυπήχθη καὶ ὁ παρὰ τὸ ἑπόμενον)· ἔτι τὸ μὴ ἐπὶ τοῦ πράγματος ἀλλ' ἐπὶ ψιλοῦ τοῦ λόγου καὶ τοῦ ὀνόματος συνάγειν τὴν ἀντίφασιν, ὡς ἐπὶ τῶν ὁμωνύμων καὶ ὁμοιοσχημόνων καὶ ἀμφιβόλων καὶ τῶν παρὰ προσῳδίαν, ὅ τε κατὰ σύνθεσιν καὶ διαίρεσιν παρά τε τὸ ἐνδεῆ ληφθῆναι [τὸν] ἐν τῷ συμπεράσματι 〈τὸ〉 κατηγορούμενον τῆς πρώτης θέσεως καὶ τὸ φύρειν τὸ δυνάμει καὶ ἐνεργείᾳ.

47 παρὰ τὴν ἔλλειψιν δὲ καὶ τοῦ τῆς προτάσεως ὅρου καὶ τοῦ συλλογισμοῦ ὁ παρὰ τὸ πῇ καὶ ἁπλῶς· οὐ γὰρ ἐκ τῶν δοθέντων. πῇ γὰρ ἢ ποῦ ἢ πρός τι ἢ ποτὲ δοθέντος εἶναι ἢ μὴ εἶναι ἁπλῶς ἐπάγει, ἢ τὸ ἔμπαλιν, καὶ κατὰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτό. ἔτι παρὰ τὸ μὴ συναριθμουμένου τοῦ ἐν ἀρχῇ ὁ τὸ ἐν ἀρχῇ λαμβάνων. ὥστ' ἔχομεν, παρ' ὅσα μὲν γίνονται οἱ παραλογισμοί· παρὰ πλείω δὲ οὐκ ἂν εἶεν, παρὰ δὲ τὰ εἰρημένα ἔσονται πάντες. Ὑπὲρ ἁπάντων δὲ κοινῶς ἀποφαινόμενοι λέγομεν ὡς πᾶς σοφιστικὸς ἔλεγχος ἢ συλλογισμὸς οὐχ ἁπλῶς ἐστι συλλογισμὸς ἢ ἔλεγχος, ἀλλὰ πρός τινα· πρὸς γὰρ τὸν μὴ καλῶς ἀποκρινόμενον. ἂν γὰρ μὴ λάβοι ὁ περιέργως ἐρωτῶν ὅ τε παρὰ τὸ ὁμώνυμον ἓν σημαίνειν καὶ ὁ παρὰ τὴν ὁμοιοσχημοσύνην ὅτι ταὐτὸν τὸ δεικνύειν καὶ δα κρύειν καὶ οἱ ἄλλοι ὡσαύτως, οὔτ' ἔλεγχοι οὔτε συλλογισμοὶ οὔθ' ἁπλῶς οὔτε πρὸς τὸν ἐρωτώμενον.

48 ἂν δὲ λάβωσι, πρὸς μὲν τὸν ἐρωτώμενον ἔσονται, ἁπλῶς δ' οὐκ ἔσονται· οὐ γὰρ ἓν τῇ ἀληθείᾳ σημαίνειν εἰλήφασιν, ἀλλὰ φαινόμενον καὶ παρὰ τοῦδε. Οἱ μὲν οὖν ψευδεῖς ἔλεγχοι καὶ συλλογισμοὶ τοσοῦτοι τῷ ἀριθμῷ καὶ τοιοίδε· ἔχομεν δὲ καὶ τὴν διδασκαλικὴν αὐτῶν μέθοδον. τῶν μέντοι ἀληθινῶν ἐλέγχων οὔτ' ἐπιστήμη τις εὕρηται ἕως νῦν, οὔτε καθ' ὅσους τρόπους διήρηνται. τὸ δὲ αἴτιον, ὡς ἐν τοῖς προοιμίοις ἐλέγετο· παρὰ τοσούτοις γὰρ οἱ ἀληθεῖς ἔλεγχοι, παρ' ὅσοις αἱ ἀποδείξεις. πᾶσαν γὰρ ἀπόδειξιν κατ' εὐθεῖαν ἔστι καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς περᾶναι, ἣν δήπου καὶ ἀληθινὸν ἐτίθεμεν ἔλεγχον· οἷον εἰ σύμμετρον ἔφησεν τὴν πλευρὰν τῇ διαμέτρῳ, ἀποδείξει ὅτι ἀσύμμετρος. καὶ ἐπὶ σαφεστέρων, ὁ ἄνθρωπος λογικόν, τὸ λογικὸν ζῶον, ὁ ἄνθρωπος ἄρα ζῶον· τοῦτο ἀπόδειξις. εἴ τις γοῦν ἐνίσταιτο μὴ ἀληθὲς λέγων τὸ συμπέρασμα, ἐλέγχοντες αὐτὸν τὸ τοῦ συμπεράσματος λαμβάνομεν ἀντικείμενον, ὅπερ καὶ τίθεται, τὸ οὐ πᾶς ἄνθρωπος ζῶον, καὶ μίαν τῶν κειμένων προτάσεων τὴν ἄνθρωπος λογικόν, καὶ συνάγομεν ἐν τρίτῳ σχήματι ἀδύνατόν τι καὶ ἄτοπον· ἀναιροῦμεν γάρ τι τῶν ὁμολογουμένως ἀληθῶν. εἰ γὰρ οὐ πᾶς ἄνθρωπος ζῶον, πᾶς δὲ ἄνθρωπος λογικόν, οὐ πᾶν λογικὸν ζῶον.

49 ἀλλὰ μὴν ὑπέκειτο καὶ πᾶν. οὐκ ἄρα ἀληθὴς ἡ ἔνστασις ἡ οὐ πᾶς ἄνθρωπος ζῶον· παρ' ἐκείνην γὰρ τὸ ἀδύνατον. ἀληθὲς ἄρα τὸ πᾶς ἄνθρωπος ζῶον, ὅπερ ἐξ ἀρχῆς ἦν. εἰσὶ μὲν οὖν οἱ ἀληθεῖς ἔλεγχοι κατὰ τὰς ἀποδείξεις, αἱ δὲ κατὰ τὰς ἐπιστήμας, καὶ παμπληθεῖς ἐν ἑκάστῃ. πολλαὶ δὲ αἱ ἐπιστῆμαι καὶ οὔπω πεπέρανται· ὅσαι γὰρ ἐν τῷ λείποντι τοῦ χρόνου φανήσονται, προσθήκη ταῖς οὔσαις ἔσονται. χρόνος γὰρ ἐκ περιττοῦ, καὶ ἐν ἑκάστῳ γένοιτ' ἂν καὶ ἐν τῷ παντί, ἥ τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν πραγμάτων τοῦτο προσαναγκάζει φύσις ἀνεξάλειπτον ἔχουσα καὶ τὴν φθορὰν καὶ τὴν γένεσιν. ὥστε οὐ δεῖ πειρᾶσθαι ἀφωρισμένως λαμβάνειν, παρ’ ὁπόσα ἐλέγχονται οἱ ἀληθῶς ἐλεγχόμενοι, ἄνευ τῆς τῶν ὄντων ἐπιστήμης ἁπάντων. τοῦτο δ’ οὐδεμιᾶς ἐστι τέχνης, οὐδέ τις οἶδε τά τε ὄντα τά τ’ ἐσόμενα τὰ προεόντα τε, θεὸς δ’ ἂν τοῦτο μόνος ἔχοι τὸ γέρας. εἰ οὖν μὴ οἷόν τε πάντα τὸν αὐτὸν εἰδέναι ἄνθρωπον, παρὰ δὲ τὰς ἐν ἑκάστῃ ἐπιστημονικὰς οἱ ἀληθεῖς ἔλεγχοι (ἄλλοι μὲν γὰρ παρὰ τὰς ἐν γεωμετρίᾳ ἀρχάς, καὶ παρὰ τὰς ἐν ἰατρικῇ ἕτεροι καὶ παρ’ ἄλλας ἄλλοι), οὐδὲ κοινήν τινα μέθοδον αὐτῶν ἀποδοῦναι δυνατόν. καὶ τί δεῖ ἐπὶ τούτων προσαπορεῖν; μικροῦ δεῖν οὐδ’ οἱ ψευδεῖς ἐν ὡρισμένοις· ἐν ἀπείροις γὰρ καὶ οὗτοι. οἱ γὰρ πειραστικοὶ καὶ κατὰ μέρος ἄπειροι τῷ καθ’ ἑκάστην τέχνην δύ νασθαι καὶ ψευδῆ συλλογίζεσθαι, οἷον κατὰ γεωμετρίαν γεωμετρικῶς, καὶ κατὰ τὴν ἰατρικὴν ἰατρικῶς· λέγω δὲ κατὰ τέχνην τὸ κατὰ τὰς ἐκείνης ἀρχάς. [15]

50 δῆλον οὖν ὡς οὐ πάντων τῶν ἐλέγχων, ὡς ἂν καὶ τῶν ἀληθινῶν καὶ τῶν πειραστικῶν, ἀλλὰ τῶν παρὰ τὴν διαλεκτικὴν μόνον ληπτέον τοὺς τόπους, οὓς καλοῦμεν σοφιστικούς· οὗτοι γὰρ κοινοὶ πρὸς ἅπασαν τέχνην καὶ δύναμιν. ὑποδύεται γὰρ ἡ σοφιστικὴ τὴν διαλεκτικὴν ὥσπερ ἐκείνη τὴν πρώτην φιλοσοφίαν. τοῦ γὰρ πρώτου φιλοσόφου ἐπαγγελλομένου καθ’ αὑτὸ τὰς κοινὰς τῶν ἐπιστημῶν καὶ ἀνωτάτω εἰδέναι ἀρχὰς καὶ τὰς ἀποδείξεις συγγενεῖς ἐπάγοντος, ὁ διαλεκτικὸς τούτων μὲν ὑφεῖται, περὶ μέντοι τὰ πιθανὰ καὶ κοινὰ διατρίβων καὶ ἀληθῶς ἔνδοξα τοῦ πρώτου καὶ ὑπὲρ αὐτὸν ἀντιποιεῖται σχήματος. κατὰ τὰ αὐτὰ δήπου καὶ ὁ σοφιστής, τοῦ διαλεκτικοῦ ἐκ τῶν ἀληθῶς ἐνδόξων συνάγοντος τὴν ἀντίφασιν, αὐτὸς ἔκ τινων κοινῶν καὶ φαινομένων ἐνδόξων, ψευδῶν μέντοι τοῦτο ποιῶν τὸ τοῦ διαλεκτικοῦ ποιεῖν ἔργον δοκεῖ. ὥστε τὸν μὲν καθ’ ἑκάστην ἐπιστήμην ἔλεγχον τοῦ κατὰ τοῦτο τὸ μέρος ἐπιστήμονός ἐστι θεωρεῖν, εἴ γε μὴ ὢν φαίνοιτο, εἴ τ’ ἔστι, διὰ τί ἐστι· τὸν δὲ κοινὸν καὶ ὑπ’ οὐδεμίαν τέχνην τῶν διαλεκτικῶν. εἰ γὰρ ἔχομεν διὰ τῶν Τοπικῶν, ἐξ ὧν οἱ ἔνδοξοι συλλογισμοὶ περὶ ὁτιοῦν, ἔχομεν καὶ ἐξ ὧν οἱ φαινόμενοι ἔλεγχοι καὶ σοφιστικοί. ὁ δὲ ἔλεγχός ἐστιν, ὡς πολλάκις ἐλέχθη, ἀντιφάσεως συλλογισμός, τοῦτο δὲ ἢ δι’ ἑνὸς ποιεῖ συλλογισμοῦ, ὃ καὶ σπάνιον (εὐφώρατον γάρ), ἢ διὰ δύο, ὃ καὶ πλεῖστον, ὡς ἐν τοῖς Ἀναλυτικοῖς λέγεται. [15]

51 καὶ ὅταν μὲν ἐν ἑνὶ συλλογισμῷ, δεῖ τὴν ἀντίφασιν ἔχειν τὴν μείζω πρότασιν ὡς ἐκεῖνα ‘ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον καὶ λευκὸν καὶ οὐ λευκόν, καὶ ὁ ἄνθρωπος οὕτω· καὶ ἡ ἰατρικὴ ὑπόληψις καὶ οὐχ ὑπόληψις, ὅτι καὶ ἡ ἐπιστήμη, ὑφ’ ἣν ὡς εἶδος.‘ δι’ ἄλλου δὲ καὶ ἄλλου, ὡς ἡ ἀνδρεία καὶ ἀγαθὸν καὶ κακόν, τὸ μὲν ὅτι ἀρετὴ τὸ δὲ ὅτι τραυμάτων καὶ σφαγῆς αἰτία. ἔχομεν ἄρα παρ’ ὁπόσα πάντες εἰσὶν οἱ τοιοῦτοι. εἰ δὲ τοῦτ’ ἔχομεν, καὶ τὰς λύσεις ἔχομεν· αἱ γὰρ τούτων ἐνστάσεις λύσεις εἰσίν. ἃ γὰρ ἐνιστάμενοι προφέρομεν τοῖς ὑλακτεῖν τὸν ἐν θαλάσσῃ κύνα συνάξασιν, ὡς οὐκ ἐπ’ αὐτοῦ σημαινομένου τὸ ὑλακτεῖν δεδώκαμεν ἀλλ’ ἐπὶ τοῦ χερσαίου, καὶ ἐν τοῖς ἄλλοις ὁμοίως, τούτοις αὐτοῖς καὶ τὸ σόφισμα λύομεν. ἄνω δὲ καὶ κάτω φαινομένους ἐλέγχους λέγομεν οὐχ ὁτῳοῦν· οὐ γὰρ τῷ τυχόντι καὶ ἰδιώτῃ ἀλλὰ τοῖς τοιοῖσδε τοῖς ἐν φιλοσοφίᾳ καὶ ἐπιστήμοσιν. ὁ γὰρ μὴ εἰδὼς ἐξ ὧν ἀπατηθήσεται, ἄπειρα ἕξει τὰ ἀπατήσοντα· ἀόριστα γάρ ἐστιν, ἐάν τις σκοπῇ, παρ’ ὁπόσα φαίνονται τοῖς τυχοῦσιν· οἱ μέντοι ἐπιστήμονες οἴδασι, κατὰ τίνα τῶν τρόπων τόδε προέβη τὸ σόφισμα. [15]

52 ὥστε φανε ρὸν ὡς ὁ διαλεκτικὸς μόνος δύναται λαβεῖν καὶ γνῶναι, κατὰ τίνας αἰτίας καὶ πόσας γίνονται διὰ τῶν κοινῶν ἀρχῶν, καὶ μόνος οὗτος τόν τε ὄντα ἔλεγχον διακρινεῖ καὶ φαινόμενον καὶ τὸν διαλεκτικὸν ἢ φαινόμενον διαλεκτικὸν ἢ πειραστικόν. Καὶ ἡμεῖς μὲν οὕτω τοὺς τῶν σοφιστῶν ἐλέγχους κατ’ εἴδη καὶ κατὰ γένος διῃρήκαμέν τε καὶ ἐδιδάξαμεν καὶ πρώτην αὐτῶν ἐκείνην καὶ κοινοτάτην διαίρεσιν πεποιήμεθα, καὶ τοὺς μὲν αὐτῶν παρὰ τὴν λέξιν τοὺς δὲ ἐκτὸς τῆς λέξεως ὠνομάκαμεν. ἀλλ’ εἰσὶν οἳ τούτοις μὲν οὐ στοιχοῦσιν, ἑτέραν δὲ παρ’ αὐτῶν καὶ καινοτέραν τὴν ἀνωτάτω ποιοῦνται διαφοράν· τοὺς μὲν γάρ φασιν εἶναι πρὸς

τοὔνομα τοὺς δὲ παρὰ τὴν διάνοιαν. ταῦτα δὲ εἰ μὴ ταὐτὰ ἀλλ’ ἕτερα, καὶ εἰ πάσας ἔχει τὰς ἀποδεδομένας τῶν σοφισμάτων ἰδέας, καὶ ἐπὶ πᾶσιν εἰ καλῶς οὕτω λέγεται καὶ διῄρηται, ἐπισκεψώμεθα λογικώτερον. καὶ πρῶτον μὲν ἄτοπον τὸ ὑπολαμβάνειν ἄλλους μὲν εἶναι πρὸς τοὔνομα λόγους, ἑτέρους δὲ παρὰ τὴν διάνοιαν, ἀλλ’ οὐ τοὺς αὐτούς. τί γάρ ἐστι τὸ μὴ πρὸς τὴν διάνοιαν ἀλλ’ ἢ ὅταν μὴ χρῆται τῷ ὀνόματι ὁ ἐρωτῶν ἐπὶ τῇ ἐννοίᾳ ἐκείνῃ καὶ ἐφ’ ᾧ σημαινομένῳ ὁ ἐρωτηθεὶς διανοούμενος ἔδωκεν; τὸ δ’ αὐτὸ τοῦτό ἐστι καὶ πρὸς τοὔνομα· ψιλὸν γὰρ ὥσπερ περιστρέφει τὸ ὄνομα διαφόροις ἐφαρμόττων πράγμασιν. ὡς ἂν δὲ σαφέστερα ἃ λέγομεν γένοιτο, ἐπὶ τῶν ὁμωνύμων γυμνάσωμεν.

53 πρὸς γὰρ τὸν ἐρωτήσαντα ‘ἆρά γε ὁ κύων ὑλακτεῖ;‘ ἢ ‘ὁ ἀετὸς πτηνόν;‘ εἴ τις δώσει οἰόμενος ἐρωτᾶσθαι περὶ τοῦ χερσαίου ἢ τοῦ ἐν ἀέρι, ὁ δὲ μὴ ἐπὶ τούτοις χρῆται ἀλλὰ μεταφέρει τὸ ὄνομα ἐπὶ τοὺς θαλαττίους, εἶτα δεικνύει τὸν ἀποκριθέντα ψευδόμενον, εἰς ἓν τὰ εἰρημένα συνάγεται· ἥ τε γὰρ διάνοια ἑκατέρων διάφορος καὶ οὐ πρὸς τὸ αὐτό, καὶ τὸ μεταπῖπτον διὰ τὸ πλεῖστα σημαίνειν τὸ ὄνομα τῆς πλάνης αἴτιον. εἰ δὲ μὴ τὸ ὄνομα σημαίνει πλείω, ἢ καὶ σημαῖνον ὡς ἓν δηλοῦν ὑπὸ τοῦ ἐρωτῶντος καὶ ἀποκρινομένου ὑπολαμβάνεται, ἀπάτη μὲν οὐκ ἔσται, πάλιν δὲ ταὐτὸν ἔσται ἄμφω· οἷον τὸ ἓν καὶ τὸ ὂν ἴσως πολλὰ σημαίνει, ὁ μέντοι Παρμενίδης καὶ Ζήνων ἓν ἄμφω καὶ καθ’ ἑνὸς σημαινομένου τιθέμενοι εἰ ἕτερος ὑφ’ ἑτέρου προσηρωτᾶτο, εἰ ἓν τὸ ὂν καὶ μονοειδές, καὶ ὁ διδοὺς ἓν εἶναι Ζήνων καὶ ὁ λαμβάνων Παρμενίδης ἀμφότεροι καὶ πρὸς τοὔνομα καὶ πρὸς τὴν διάνοιαν ἀλλήλων διειλεγμένοι εἴησαν. εἰ δέ τις πολλὰ οἴεται σημαίνειν καὶ ἐρωτήσει, οὐ πρὸς τὴν διάνοιαν αὐτοῦ δῆλον ὅτι ἀπηντηκὼς ἔσται ὁ ἀποκριθεὶς ἕν, ὥς γε εἴρηται. καὶ τοῦτο μὲν οὕτως. ἔπειτα δὲ τὸ πρὸς τοὔνομα καὶ παρὰ τὴν διάνοιαν οὐκ ἐπὶ πάντας φθάνει τοὺς παραλογισμούς, ἀλλὰ περὶ μόνους τούτους ὅσοι πλείω σημαίνουσιν. εἶεν δ’ ἂν τῶν ἐντὸς τῆς λέξεως μόνοι οἱ κατὰ τὸ ὁμώνυμον καὶ ἀμφίβολον οἵ τε παρὰ προσῳδίαν καὶ κατὰ τὴν ὁμοιο σχημοσύνην.

54 ἄλλως τε οὐδ’ ἐν τούτοις αὐτοῖς ἀεὶ τὸ αἴτιον ἐν τῇ λέξει, ἵν’ ᾖ πρὸς τοὔνομα καὶ παρὰ τὴν διάνοιαν, ἀλλ’ ἔστιν ὅτε πρὸς τὸ ποιὸν εἶναι τὸν ἐρωτῶντα ἢ ἀποκρινόμενον. οἰηθείη γὰρ ἄν τις τό τε μονοειδὲς πολύσημον καὶ τὸ ἔμπαλιν, ὡς δὲ ἔχει, καὶ δώσει καὶ ἀπολήψεται. ἔτι εἰ ἀποδέδεικται τοὺς αὐτοὺς εἶναι τοὺς παρὰ τὴν διάνοιαν τοῖς πρὸς τοὔνομα, πάντας δὲ ἐκεῖνοι τῇ διαιρέσει συνέχειν ᾤοντο, ἔσονται πάντες πρὸς ἓν τοῦτο συγκεκλεισμένοι τὸ κατὰ τὸ ὄνομα. ἀλλὰ μὴν τοῦτο ἐν τοῖς ἐντὸς τῆς λέξεως παραλογισμοῖς ἐθεωρεῖτο μόνοις καὶ τούτοις οὐ πᾶσι. λείπεται ἄρα τούς τε ἐκτὸς τῆς λέξεως ἅπαντας καὶ τοὺς παρὰ σύνθεσιν καὶ διαίρεσιν ἐκτὸς πίπτειν τῆς εἰσηγημένης παρ’ αὐτῶν διαιρέσεως. ἣν δὲ μὴ ἄφυκτον διαίρεσιν ἐν τοῖς λόγοις ἐκακίζομεν πρότερον, τοιαύτη τίς ἐστι. κἀκεῖνο δὲ αὐτοῖς ἔγκλημα τὸ παρόραμα· ὅλως γὰρ ἄτοπον αὐτόθεν τὸ περὶ ἐλέγχων σοφιστικῶν διαλέγεσθαι μὴ πρότερον διαλαβόντας περὶ συλλογισμοῦ· ὁ γὰρ ἔλεγχος συλλογισμός τις. ἔδει οὖν ζητῆσαι περὶ τοῦ ἁπλῶς συλλογισμοῦ πρότερον, εἶτα περὶ τοῦ ἀληθοῦς ἐλέγχου, εὑρόντας δὲ τί ἐστιν ἔλεγχος, ἢ τοσάσδε τὰς τῶν σοφισμάτων ἀρχὰς τίθεσθαι ὅσας καὶ ἡμεῖς, ἢ πάντας ἀνάγειν εἰς τὴν τοῦ ἀληθοῦς ἐλέγχου ἄγνοιαν. ἐχρῆν οὖν περὶ συλλογισμοῦ ἐσκέφθαι πρότερον ἢ περὶ ψευδοῦς ἐλέγχου· ἔστι γὰρ ὁ τοιοῦτος ἔλεγχος φαινόμενος συλλογισμὸς ἀντιφάσεως. διὸ καὶ εἰ μέλλει γενήσεσθαι, δεῖ τὸ αἴτιον τῆς ἀπάτης ἢ ἐν τῷ συλλογισμῷ μόνῳ εἶναι (λέγω δὲ τοῦτο, ὅταν ἐν τῷ συμπεράσματι), ἢ ἐν τῇ ἐρωτήσει τῇ κατ’ ἀντίφασιν προτεινομένῃ καὶ τῇ πλοκῇ τῶν προτάσεων τῷ διττὸν ἢ ἀμφίβολον εἶναι τὸ δοθὲν ἐν προτάσεσιν, ἢ ἐν ἀμφοῖν· ὁ δ’ ἐν μηδετέρῳ ἀληθὴς συλλογισμός.

55 τὸ μὲν οὖν Σωκράτην βαδίζειν νῦν καθήμενον ἐν τῷ συμπεράσματι τῷ ἐλλεῖψαι· αἱ γὰρ προτάσεις ἄληπτοι· τὸ δὲ σιγῶντα λέγειν ἐν τῇ τῆς ἐρωτήσεως ἀντιφάσει καὶ τῷ ἀμφίβολον λαβέσθαι πρότασιν, τὸ μέντοι συμπέρασμα ἀληθὲς τὸ ἔστιν ἄρα σιγῶντα λέγειν. τὸ δ’ ὅτι ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμήρου ποίησις σχῆμα, διότι κύκλος, καὶ ὃ μὴ ἔχει δοίη τις, ἐν ἀμφοῖν· ὅ τε γὰρ κύκλος διπλοῦν, ἥ τε ποίησις ὡς περὶ τὰ αὐτὰ στρεφομένη καὶ τὸ παρὰ γεωμέτραις σχῆμα, καὶ τὸ συμπέρασμα ὅτι ἡ ποίησις σχῆμα ἐπίπεδον ψευδές. πάλιν, ἆρ' ὃ μὴ ἔχει τις, δοίη ἄν; οὔ· τί δέ; ὃ μὴ ἔχει τις ταχέως, δοίη ἂν ταχέως; ναί. ἄρ' οὖν ὃ μὴ ἔχει τις, δοίη ἄν. οὕτω δὲ ἔδει συμπερᾶναι 'ὃ ἄρα μὴ ἔχει τις ταχέως, δοίη ἂν ταχέωσ', καὶ οὕτως ἔδει ἐρωτῆσαι 'ἆρ' ὃ ἔχει τις, δοίη ἂν ὡς οὐκ ἔχει, ἢ οὔ;' ἀλλ' οὐχὶ ὃ μὴ ἔχει τις δοίη ἄν. Ἀλλὰ δὴ ὅθεν ἦλθεν ὁ λόγος, ἐπανιτέον, καὶ ἔτι προσωτέρω τοὺς ἐλέγχους ἀγάγωμεν τὴν τῶν οὕτω διαιρούντων ἐπὶ πλέον δόξαν εὐθύνοντες. πότερον οἱ ἐν τοῖς μαθήμασι παραλογισμοί, οἳ καὶ πειραστικοὶ λέγονται, κατὰ τὴν τοῦ ἐρωτωμένου εἰσὶ διάνοιαν ἢ οὔ; ἀλλὰ πῶς ἂν εἶεν; εἰ γάρ τις καίπερ εἰδὼς ὡς τὸ τρίγω νον σημαίνει πολλά, τό τε σκαληνὸν καὶ ἰσοσκελὲς καὶ ἰσόπλευρον, εἶτα ἐρωτηθεὶς εἰ παντὸς τριγώνου αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις, καταφήσει βλέπων πρὸς μόνον τὸ ἰσοσκελές, ὁ μέντοι σοφιστὴς συμπεράνῃ ἐπὶ τοῦ σκαληνοῦ τὴν ἀντίφασιν (τούτου γὰρ οὐκ ἴσαι), οὐκ ἂν εἴη διειλεγμένος ὁ ἐρωτήσας κατὰ τὴν τοῦ ἀποκρινομένου διάνοιαν.

56 καὶ ἔτι μᾶλλον, εἰ πολλὰ σημαίνει τοὔνομα, ὁ δὲ μὴ νοεῖ μηδ' οἴεται, οἷον τὸ κύων, καὶ δοίη κατὰ πάντων τὸ ὑλακτεῖν, εἶτα συκοφαντεῖται ὡς τὸν ἀστέρα ὑλακτεῖν εἴποι, πῶς οὗτος ἐλεγχόμενος ἔσται ἢ διειλεγμένος ἐκεῖνος; ἆρ' οὐ παρὰ τὴν διάνοιαν; οὐ γὰρ ὃν οὗτος τῇ διανοίᾳ κύνα ἀπέδωκε, συνῆξεν ἐκεῖνος. ἀλλὰ μὴν ταῦτα δοκεῖ καὶ πρὸς τοὔνομα εἶναι, ὥστ' ἐκ πάντων συνάγεται μὴ ἑτέρους ἀλλήλων εἶναι. Καὶ τοσούτων εἰρημένων ἔτι ἐνίστανται φάσκοντες ὡς ἔστιν ἀναλῦσαι τοὺς ἐλέγχους ὡς εἰς ἀρχὰς κοινὰς εἰς ταῦτα, εἴπερ κατὰ διαίρεσιν αἱ ἐρωτήσεις προτείνοιντο. ἔσται δὲ τοῦτο οὕτως· ἆρ' ἔστι σιγῶντα λέγειν ἢ οὔ; ἢ ἔστι μὲν ὡς οὔ, ἔστι δ' ὡς ναί; ἁπλῶς μὲν γὰρ ὁ σιγῶν οὐ λέγει, τρόπον δὲ ἄλλον ἔστι σιγῶντα λέγειν τὰ ἄφωνα δήπου καὶ ἄψυχα πράγματα. ἀλλὰ καὶ πάλιν οὐδ' οὕτως ἔσται ἃ λέγουσιν· οὔτε γὰρ διαφορὰν αὐτοῖς τὰ τῆς διαιρέσεως ἕξουσιν, οὔτε τοὺς τρόπους τῶν σοφισμάτων κατὰ κοινόν τι συνέξουσιν. εἰ γὰρ καὶ μετὰ διαιρέσεως ὁ λόγος προβαίη καὶ ὁ μὲν μηδαμῶς δοίη τὸν σιγῶντα λέγειν, ὁ δὲ συνάξει ὡς δυνατόν, ἁπλῶς μὲν ὁ λόγος ἔσται πρὸς τοὔνομα, ὁ μέντοι ἐρωτήσας πάλιν ἔσται διειλεγμένος παρὰ τὴν τοῦ ἐρωτωμένου διάνοιαν.

57 οὐκ ἄρα οὐδ' ἐντεῦθεν ἔστι τι γένος λόγων τὸ παρὰ τὴν διάνοιαν, ἀλλά τινες τῶν παρὰ τὴν λέξιν ἔσονται καὶ κατὰ τοὔνομα καὶ παρὰ τὴν διάνοιαν, οἱ πλεῖστοι δ' οὔ, ὡς πολλάκις εἴρηται, οὐδεὶς δὲ τῶν ἐκτὸς οὔθ' ὁ παρὰ σύνθεσιν καὶ διαίρεσιν. Ἔπειτα καὶ τὸ ἀξιοῦν οὕτως ἐρωτῶντας διαιρεῖν πῶς ἂν ἔχοι καλῶς; πρῶτον μὲν γὰρ ἔστιν ὅτε ὁ ἐρωτῶν οὐκ οἶδε, ποσαχῶς ἔχει τὸ ἐρωτώμενον· ὃ δὲ μὴ οἶδε, πῶς ἂν διέλοι; εἶτα καὶ χωρίς ἐστι τὸ διδάσκειν τοῦ διαλέγεσθαι, καὶ τὸ μὲν τοῦ καθαρῶς φιλοσοφοῦντος καὶ τὴν ἀχλὺν τῆς ἀγνοίας ἀπὸ τῆς ψυχῆς αἴροντος τῷ ἀνακαθαίρειν καὶ διαρθροῦν τὰ προσπίπτοντα, τὸ δὲ τοῦ διαλεκτικοῦ, ὃς οὐ διδάσκει ἀλλ' ἐρωτᾷ· προσποιεῖται γὰρ μὴ εἰδέναι. τὸ γοῦν ἐγκελεύειν τοῖς διαλεγομένοις διαιρεῖν φύρειν ἐστὶ τὴν τάξιν καὶ τῶν πραγμάτων συγχεῖν τὴν διαφοράν. ὃ δ' ἂν μὴ τῷ διαλεκτικῷ δοίη τις, σχολῇ γ' ἂν τῷ σοφιστῇ, ὃς εἰ μὴ καὶ τὰ δῆλα κρύψει καὶ πρὸς πᾶν ἀγνῶτι τῷ προσδιαλεγομένῳ χρήσαιτο, λήσεται διεφθορὼς τὴν τέχνην. τὸ γὰρ κεφάλαιον τῆς ἐπιστήμης αὐτῷ νικῆσαι πρὸς ἀπάτην ἐστί, διαιρῶν μέντοι φανερὸν ποιήσει ὡς ἔχει τὸ πρᾶγμα τῷ μήτ' ἐσκεμμένῳ μήτε εἰδότι μήθ' ὑπολαμβάνοντι, ὅτι ἄλλως λέγεται. ἀλλ' ἡμεῖς μὲν οὕτω, οἱ δὲ τοσοῦτον πρόσκεινται ὡς προσαναγ κάζειν καὶ τὰ μὴ διπλᾶ, ἀλλ' ἑνὸς ὄντα σημαντικὰ καὶ ταῦτα προάγειν κατὰ διαίρεσιν.

58 τί γὰρ κωλύει ταῦτα, φασί, τοῦτο παθεῖν; ὡς ἐπ' ἐκείνων τῶν προβλημάτων 'ἆρα ἴσαι αἱ τέσσαρες μονάδες ταῖς δυσὶ δυάσιν ἢ οὔ;' καὶ ὁμώνυμον μὲν ἐν τούτοις οὐδέν, οὐδὲν δ' ἧττον, φασί, διαίρεσις ἔσται· ὡδὶ μὲν γὰρ ἔσονται ἴσαι, ὡδὶ δ' οὔ. ἁπλῶς μὲν γὰρ αἱ τέσσαρες μονάδες ὡς ὅλον ταῖς δυσὶ δυάσιν, ἢ ἑκατέρα τῶν δυάδων ταῖς τέσσαρσι μονάσι καθάπαξ οὐκ ἴσαι. καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάλιν, ἆρα τῶν ἐναντίων μία ἐπιστήμη ἢ οὔ; καὶ ἡ διαίρεσις ‘ἔστι δὲ τῶν ἐναντίων τὰ μὲν γνωστὰ τὰ δ’ ἄγνωστα.‘ ὃ δ’ ἀνωτέρω περὶ τούτων διετεινάμην, κἀνταῦθα λέγω· ἐμοὶ γὰρ δοκεῖ ὁ τοῦτ’ ἀξιῶν ἀγνοεῖν ὡς ἕτερον τὸ διδάσκειν τοῦ διαλέγεσθαι, καὶ ὡς δεῖ τὸν μὲν διδάσκοντα μὴ ἐρωτᾶν, αὐτὸν δ’ ἀφ’ αὑτοῦ λαμβάνοντα δῆλα ποιεῖν τῷ μαθητῇ, τὸν δὲ ἐρωτῶντα μὴ διαιρεῖν, καὶ τὸν σοφιστὴν εἰς ἄδηλον συνελαύνειν ἅπαντα· περὶ γὰρ τὸ μὴ ὂν διατρίβων κατὰ τὸν Πλάτωνα εἰς παντάπασι σκοτεινότατον τόπον καταδέδυκε. Καὶ πρὸς τούτοις, εἰ τὸ φάναι καὶ ἀποφάναι ἀξιοῦμεν τοῦ ἀποδεικνύντος εἶναι καὶ διδάσκοντος, τί ποτε δώσομεν τῷ διαλεγομένῳ καὶ πεῖραν λαμβάνοντι; δεῖ γὰρ διαφέρειν· ἔστι γὰρ ἡ πειραστικὴ διαλεκτική τις, ὡς εἴρηται, διὸ περὶ πάντων ἐπισκοπεῖ καὶ θεωρεῖ οὐ τὸν εἰδότα τὴν ἐπιστήμην καὶ ἀκριβῶς ἔχοντα, ἐξ ἧς τὸ πρόβλημα, ἀλλὰ τὸν ἀγνοοῦντα μὲν προσποιούμενον δέ. [15]

59 εἰ δὲ δεῖ περὶ τούτων καὶ πλέον εἰπεῖν, ὁ μὲν κατὰ τὰ κοινὰ τὸ πρᾶγμα θεωρῶν καὶ ἀληθῶς ἔνδοξα (κοινὰ δὲ ἢ τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς) διαλεκτικός, ὁ δὲ τοῦτο φαινομένως ποιῶν σοφιστικὸς καὶ ἐριστικός. διττὸς δὲ οὗτος, ὅ τε βεβλαμμένος τῷ σχήματι καὶ μὴ σώζων τὸ εἶδος, ὃς καὶ κυρίως ἐριστικός, κἂν ἀληθὲς ᾖ τὸ συμπέρασμα (τοῦ γὰρ διὰ τί ἀπατητικός ἐστιν, ὥσπερ ὁ Καινεὺς ἐποίει συνάγων τὸ πῦρ ἐν πολλαπλασίονι ἀναλογίᾳ δύο καταφάσεις λαβὼν ἐν δευτέρῳ σχήματι, ἢ ἐν τρίτῳ τὸ πάντα σοφὸν σπουδαῖον εἶναι, ὅτι ὁ Πιττακὸς ἄμφω), καὶ δεύτερος ὁ μὴ ὢν κατὰ τὴν ἑκάστου μέθοδον παραλογισμὸς ὅμως δοκῶν εἶναι τοῖς ἀπειροτέροις ἐκ τῶν οἰκείων τῆς τέχνης ἀρχῶν. τὰ γὰρ ψευδογραφήματα παραλογισμοὶ μέν εἰσιν, οὐκ ἐριστικοὶ δέ, εἴπερ δεῖ τηρεῖν τὴν διαφοράν· οὐ γὰρ ὅ τι ἐστὶ ψευδογράφημα περὶ ἀληθές τι, τοῦτο ἐριστικόν ἐστιν, ἀλλὰ κατὰ τὸ κοινὸν ἔσται παραλόγισμα, τὴν μέντοι κατ’ εἶδος οὐκ ἀπολέσει διαφοράν. τοιοῦτοι δὲ οἷον τὸ τοῦ Ἱπποκράτους τοῦ Χίου ψευδογράφημα ἐπὶ τὸν τοῦ κύκλου τετραγωνισμὸν καὶ τὸ τοῦ Ἀντιφῶντος. ὁ μὲν γὰρ ἐν κύκλῳ περιγράψας τετράγωνον τὰ μέσα ἐμβαδὰ τῶν τετραγωνικῶν πλευρῶν καὶ τῆς τοῦ κύκλου περιφερείας καταναλῶσαι ᾤετο διὰ γραφῆς τριγώνων ἰσοσκελῶν, ὡς ἂν τοῦτο λαβὼν ἕξει καὶ τὸ ἐπίλοιπον τοῦ τετραγώνου (τοῦτο δ’ ἦν ὁ κύκλος) τῷ ὡς ἓν ἀμφότερα τὸ ὅλον εἶναι τετράγωνον. [15]

60 ἀλλὰ τοῦτο ἀδύνατον τῷ τὸ μέγεθος εἰς ἄπειρα εἶναι διαιρετόν. ὁ μέντοι Ἀντιφῶν ἐπεχείρει διὰ τῶν μηνίσκων ἑτέρως· ἐπεὶ δὲ πραγματειωδεστάτη ἡ τοιαύτη ἀπόδειξις τοῖς ἀγεωμετρήτως ὑμῶν ἐντυγχάνουσιν, παρεῖται. ὅμως μέντοι ἀμφότεροι ὡς ἁπλῶς ἐκ γεωμετρίας τοὺς λόγους ποιούμενοι οὐκ ἐριστικοὶ ἀλλὰ τὸ ὅλον τοῦτο πειραστικοί. ὁ δέ γε Βρύσων κατὰ κοινόν τι τετραγωνίζειν ἐπιχειρῶν καὶ οὐ κατὰ τὸ πρᾶγμα τὸ ὑποκείμενον μᾶλλον ἂν εἴη ἐριστικός· τετράγωνα γὰρ ἐκθέμενος ἐν κύκλῳ τρία, ὧν τὸ μὲν ἐγγράψας τὸ δὲ περιγράψας τὸ δὲ μεταξὺ διαγράψας, κοινοῖς ἔπειτα χρῆται λόγοις πρὸς τὴν ἀπόδειξιν οὐ μᾶλλον γεωμέτρῃ ἢ φυσικῷ ἢ ἑτέρῳ τῳ τῶν ἐπιστημόνων προσήκουσιν. ἐπειδὴ γάρ, φησί, τὸ μέσον τετράγωνον καὶ ὁ κύκλος τῶν παρ’ ἑκάτερα τετραγώνων ἄμφω τοῦ μὲν μείζονα τοῦ δ’ ἐλάττονα, τὰ δὲ τῶν αὐτῶν μείζονα καὶ ἐλάττονα ἴσα ἀλλήλοις ἐστίν, ἴσος ἔσται καὶ ὁ κύκλος τῷ μέσῳ τετραγώνῳ. ἔστι δὲ ψεῦδος· τὰ γὰρ ὀκτὼ καὶ ἐννέα τῶν μὲν δέκα ἐλάττω τῶν δὲ ἑπτὰ μείζω, οὐκ ἤδη δὲ καὶ ἀλλήλοις ἴσα. καὶ οὐ μᾶλλον ἐν τούτοις ὁ λόγος ἢ ἐπὶ χρόνων καὶ τόπων καὶ σωμάτων ἐφαρμόσει στερεῶν, ὥς γε εἴρηται. ἣν μὲν οὖν ἄν τις ἐπίδοι διαφορὰν ἐνοῦσαν ἀμφοῖν τοῖν παραλογισμοῖν, τοιαύτη τις ἦν· ἡμεῖς δὲ ἀμφοτέρους εἰς ἓν κεφαλαιούμενοι κατὰ κοινόν τι ἐριστικοὺς καὶ φαινομένους συλλογισμοὺς ὀνομάζομεν καὶ τοὺς βεβλαμμένους τῷ σχήματι καὶ τοὺς ψευδογραφοῦντας. [15]

61 ἔοικε δὲ ὁ κατὰ τὸ πρᾶγμα παραλογισμὸς τῇ ἐν τῇ ἀγωνίᾳ ἀδικίᾳ· ὡς γὰρ ἐκείνη εἶδός τι ἔχει καὶ καλεῖται ἀδικομαχία, οὕτως ἐν ἀντιλογίᾳ ἀδικομαχία τίς ἐστιν ἡ ἐριστική· ἐκεῖ τε γὰρ οἱ πάντα νικᾶν προαιρούμενοι πάντων ἅπτονται καὶ τρέχοντες ἀλλήλοις προσπταίουσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατέχοντες καὶ σκῶλα τοῖς ποσὶν ὑπορρίπτοντες, καὶ ἐνταῦθα οἱ ἐριστικοὶ τὸν δρόμον τοῦ λόγου ἀνακόπτουσι τοῖς ὁμωνύμοις καὶ ἀμφιβόλοις. οἱ μὲν οὖν τῆς νίκης αὐτῆς χάριν τοιοῦτοι ἐριστικοὶ ἄνθρωποι καὶ φιλέριδες εἶναι δοκοῦσιν, οἱ δὲ δόξης χάριν τῆς εἰς χρηματισμὸν σοφιστικοί· ἡ γὰρ σοφιστική ἐστιν, ὡς εἴπομεν, χρηματιστική τις ἀπὸ σοφίας φαινομένης· διὸ φαινομένης ἀποδείξεως ἐφίενται. καὶ τῶν αὐτῶν μὲν λόγων εἰσὶν οἱ φιλέριδες καὶ οἱ σοφισταί, ἀλλ' οὐ τῶν αὐτῶν ἕνεκεν, ἀλλ' ᾗ μὲν νίκης φαινομένης, ἐριστικοί, ᾗ δὲ σοφίας, σοφιστικοί. καὶ γὰρ ἡ σοφιστική ἐστι φαινομένη σοφία ἀλλ' οὐκ οὖσα. Τούτων οὕτω διαιτηθέντων πάλιν ὡς ἓν τὸν ἐριστικὸν λαμβάνοντες καὶ σοφιστικὸν ζητοῦμεν ἰδεῖν, πῶς ποτε πρὸς τὸν διαλεκτικὸν ἔχει. ἔχει δὲ ὡς ὁ ψευδογράφος πρὸς τὸν γεωμέτρην ὁ ἐριστικὸς καὶ σοφιστικὸς πρὸς τὸν διαλεκτικόν· ἐκ γὰρ τῶν αὐτῶν τῇ διαλεκτικῇ παραλογίζεται, κα θάπερ ὁ ψευδογράφος τὸν γεωμέτρην ἐκ τῶν γεωμετρικῶν.

62 φθάνει δὲ ὁ ἐριστικὸς κἀν τοῖς μαθήμασιν ἄλλον τρόπον ἢ ὁ πειραστικός. ὁ γὰρ ψευδογράφος εἰ μὲν ἐκ τῶν ἀρχῶν πρόεισι τῶν γεωμετρικῶν, τὸ ὅλον τοῦτο πειραστικὸς συλλογισμὸς ἐν μαθήμασιν· εἰ δὲ ἀπό τινων κοινοτέρων καὶ ὑπερβαινόντων καὶ πολλοῖς ἁρμοζόντων γένεσιν, ἐριστικός· σώζει γὰρ τὸ πρόσχημα. ὥστε ὁ μὲν διὰ τῶν μηνίσκων τοῦ Ἀντιφῶντος τετραγωνισμὸς καὶ ὁ τοῦ Ἱπποκράτους οὐκ ἐριστικοὶ ἐν τούτῳ, ὁ δὲ τοῦ Βρύσωνος πάντως, καὶ τοὺς μὲν οὐκ ἔστι μετενεγκεῖν ἄλλῃ ἢ πρὸς μόνην γεωμετρίαν διὰ τὸ ἐκ τῶν ἰδίων ἀρχῶν, τὸν δὲ πρὸς πολλά· ᾧ γὰρ χρῆται ὡς ἀξιώματι, φθάνει καὶ ἐν τοῖς ἑτερογενέσιν. ἐπὶ τὰ αὐτὰ δὲ κἀκεῖνο ἀποχρήσει ῥηθέν, οἷον εἴ τις φαίη μὴ βέλτιον εἶναι ἀπὸ δείπνου περιπατεῖν, ὅτι οὐκ ἔστι κίνησις κατὰ Ζήνωνα· ἕτερος δὲ δεικνύει μὴ δεῖν ἀπὸ δείπνου περιπατεῖν, ἵνα μὴ ἄπεπτα τὰ βρώματα ὑπὸ τῶν φλεβῶν ἕλκωνται· ἡ γὰρ κίνησις θερμότητα ποιεῖ, ἡ δὲ ἕλκει. τούτων ὁ μὲν πρότερος οὐκ ἰατρικός (ἔστι γὰρ καὶ ἐπ' ἄλλα τὴν αὐτὴν αἰτίαν εἰπεῖν, οἷον οὐ συμφέρει βαδίσαι εἰς ἀγορὰν ἢ εἰς διδασκαλεῖον, ἐπεὶ οὐκ ἔστι κίνησις), ὁ δὲ δεύτερος ἰατρικός· οἱ γὰρ ἀποδεδομένοι λόγοι μόνης ἰατρικῆς. εἰ μὲν οὖν πάντῃ ὁμοίως εἶχεν ὁ ἐριστικὸς πρὸς τὸν δια λεκτικὸν ὡς ὁ ψευδογράφος πρὸς τὸν γεωμέτρην καὶ πρός τινας οἰκείας καὶ ὡρισμένας ἠρωτᾶτο κἀκεῖνος ἀρχάς, οὐκ ἂν ἦν ἴδιος ὁ περὶ τὰ μαθήματα παραλογισμός, ἀλλ' ἔφθανεν ὁ διαλεκτικός· νῦν δ' οὐκ ἔστιν ὁ διαλεκτικὸς περί τι γένος ὡρισμένον οὐδὲ δεικτικὸς οὐδενός, οὐδὲ τοιοῦτος οἷος ὁ καθόλου καὶ πρῶτος.

63 εἰ γὰρ καὶ περὶ τὰ αὐτὰ ἀναστρέφεται, ἐφ' ἃ καὶ ὁ θεολόγος (περὶ γὰρ τὰ ὄντα πάντα ἀμφότεροι καὶ οὐ περί τι ἀφωρισμένον, ὥσπερ αἱ ἄλλαι τῶν ἐπιστημῶν περὶ μὲν γραμμὰς γεωμετρία, περὶ δὲ ἀριθμοὺς λογιστικὴ καὶ ἀριθμητικὴ καὶ περὶ ἄλλο τι ἄλλη), ἀλλ' οὖν ὁ μὲν συλλογίζεται ἐκ τῶν κοινῶν ἀρχῶν καὶ ἀποδείκνυσιν ἐκ τῶν ἀνωτάτω καὶ καθ' αὑτό, ὁ δὲ ἐκ τῶν ἐνδόξων, καὶ οὐκ ἀποδείκνυσί τι ἀλλ' ἐρωτᾷ, καὶ εἰ μὴ λάβοι, ἵσταται· οὐ γάρ ἐστιν αὐτοῦ ὠνομασμένον τὸ ὑποκείμενον, τῷ τε μὴ πάντα ἑνὶ συναιρεῖσθαι γένει ὡς ἄν τις εἴποι τῷ ὄντι, εἴ τε καὶ εἴη, τῷ μὴ οἷόν τε εἶναι ὑπὸ τὰς αὐτὰς ἀρχὰς εἶναι τὰ ὄντα. οὐδὲν γὰρ ἧττον τὰ δέκα γένη, εἰς ἃ τὸ ὂν τέμνεται, ἀρχαὶ δέκα πρῶται ἀλλήλων ἀποδιιστάμεναι. δῆλον δὲ καὶ ἐκ τοῦ μηδεμίαν τέχνην τῶν δεικνυουσῶν τινα φύσιν ἐρωτητικὴν εἶναι. οὐ γὰρ ἔξεστιν ὁποτερονοῦν τῶν μορίων δοῦναι τῆς ἀντιφάσεως, τῷ μὴ συλλογισμὸν γίνεσθαι ἐξ ἀμφοῖν· οὐ γὰρ δυνατὸν ἀποδεῖξαι τῷ γεωμέτρῃ τὰς τοῦ τριγώνου τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, εἴπερ εἴη δεδειγμένον δυοῖν ὀρθαῖν ἐλάττονας.

64 ἡ μέντοι διαλεκτικὴ ἐρωτητική τίς ἐστιν ἐξ ἑκατέρων συλλογιζομένη μερῶν· ἐρωτῶσα γὰρ εἰ ἡ ψυχὴ ἀθάνατος πρὸς ὁποτερονοῦν τῶν δοθέντων ἀπαντῆσαι παρεσκεύασται καὶ κατασκευάσαι τὸ ἀντικείμενον. εἰ δὲ δεικτική τις ἦν, εἰ καὶ μὴ πάντα, τὰ γοῦν πρῶτα καὶ τὰς οἰκείας ἀρχὰς οὐκ ἂν ἠρώτα· μὴ διδόντος γὰρ οὐκ ἂν εἶχεν ἐπαναβεβηκυίας, ἐξ ὧν διαλέξεται πρὸς τὴν ἔνστασιν. ἐν μὲν γὰρ τοῖς κατόπιν θεωρήμασιν ἐκ τῶν προτέρων καὶ ὑπὲρ αὐτῶν ὁ

γεωμετρικὸς πρὸς τὸν ἐνιστάμενον διαλέξεται, ἐν ἐκείνοις δὲ ἐκ τῶν ὅρων καὶ τῶν κοινῶν ἐννοιῶν· ὅταν δὲ περὶ αὐτῶν τούτων ἀπαιτῆται λόγον, ἐκ τίνων; ἔστι δὲ ἡ πειραστικὴ καὶ ἐριστικὴ ταὐτὸν τῇ διαλεκτικῇ τῷ μὴ ἐφ’ ὡρισμένου βαίνειν. πειραστικὴν δὲ ἐνταῦθά φαμεν οὐχ ἣν πρόσθεν ἐλέγομεν τὴν ὑπὸ τῇ γεωμετρικῇ καὶ τοῖς συζύγοις μαθήμασιν, ἀλλ’ ἑτέραν κοινήν τινα καὶ ἁπλουστέραν, ἣν ἂν ἔχοι καὶ μὴ εἰδώς τις. ἔνεστι γὰρ καὶ τὸν μὴ εἰδότα τὴν ἀντίφασιν ἀπόπειραν λαβεῖν τοῦ μὴ εἰδότος μὲν αὐτὴν προσποιουμένου δέ, ἐπεὶ καὶ δίδωσιν οὐκ ἐξ ὧν οἶδεν ὡς ἐπιστήμην ἔχων καὶ ἐκ τῶν οἰκείων τῇ ἐπιστήμῃ, ἀλλ’ ἐκ τῶν κοινῶν καὶ συνήθων τοῖς πᾶσιν, ἃ εἰδώς τις οὐκ ἀναγκαῖον ἔχει εἰδέναι τὴν τέχνην. οὐδὲν γὰρ κωλύει τὸν εἰδότα τὰ ἑπόμενα τῷ πράγματι, οὗ τὴν πεῖραν λαμβάνει, τὴν τέχνην ἀγνοεῖν.

65 ὥστε φανερὸν ὡς οὐδενὸς ὡρισμένου γένους ἐστὶν ἣν νῦν πειραστικὴν παραδίδομεν. διὸ καὶ περὶ πάντων ἐστί· πᾶσαι γὰρ τέχναι χρῶνται καὶ κοινοῖς τισιν. ὅθεν καὶ οἱ ἰδιῶται τρόπον τινὰ χρῶνται τῇ διαλεκτικῇ καὶ τῇ τοιαύτῃ πειραστικῇ, καὶ μέχρι τινὸς ἀνακρίνειν ἐπιχειροῦσι τοὺς τὰ τοιάδε ἐπαγγελλομένους διὰ τῶν κοινῶν· ταῦτα γὰρ οὐδὲν ἧττον τῶν ἐπιστημόνων ἴσασιν αὐτοί, κἂν δοκῶσι λίαν ἔξω λέγειν. ἐλέγχουσιν οὖν ἅπαντες καὶ μετέχουσιν ἀτέχνως τούτου, οὗ ἐντέχνως ὁ διαλεκτικός. ἐπεὶ δέ ἐστι πολλὰ μὲν ταὐτὰ κατὰ πάντων, οἷον τὰ κοινὰ ἀξιώματα, οὐ τοιαῦτα δὲ ὥστε φύσιν τινὰ εἶναι καὶ γένος, ἀλλ’ ἀόριστα καὶ οἷον αἱ ἀποφάσεις τῶν ὀνομάτων, τὸ οὐχ ἵππος, οὐκ ἄνθρωπος, τὰ δ’ οὐ τοιαῦτα, ἀλλὰ ἴδια τέχνης τινὸς καὶ ὡρισμένα, ἐκ μὲν τῶν ἰδίων οὐκ ἂν εἴη ἄλλη παρὰ τὴν ὁρισθεῖσαν, ἐκ δὲ τῶν κοινῶν ἐνδέχεται περὶ ἁπάντων πεῖραν λαμβάνειν καὶ εἶναι τέχνην τινά, καὶ μὴ τοιαύτην οἵαν αἱ δεικνύουσαι. διόπερ ὁ ἐριστικὸς οὐκ ἔστιν οὕτως ἔχων πάντῃ ὡς ὁ ψευδογράφος· οὐ γάρ ἐστι παραλογιστικὸς ἐξ ὡρισμένων ἀρχῶν ἑνός τινος γένους, ἀλλὰ περὶ πᾶν ἔσται ἐριστικός. Τρόποι μὲν οὖν οὗτοι τῶν σοφιστικῶν ἐλέγχων· ὅτι δ’ ἐστὶ τοῦ διαλεκτικοῦ θεωρῆσαι περὶ τούτων καὶ γνῶναι, ὅθεν καὶ ὅπως γίνονται, καὶ αὐτὸν δύνασθαι ποιεῖν καὶ ἐλέγχειν καὶ ἀπατᾶν, οὐ χαλεπὸν ἰδεῖν. ἡ γὰρ περὶ τὰς προτάσεις μέθοδος ἅπασαν ἔχει ταύτην τὴν θεωρίαν· τῷ γὰρ τὰς ἀληθῶς ἐνδόξους εἰδέναι ἕπεται καὶ τὰς φαινομένας.

66 Καὶ περὶ μὲν τῶν ἐλέγχων εἴρηται τῶν φαινομένων, τὸ δὲ ψευδόμενόν τι δεῖξαι καὶ τὸν λόγον εἰς ἄδοξόν τι ἀγαγεῖν (τοῦτο γὰρ ἦν δεύτερον τῆς σοφιστικῆς προαιρέσεως) γίνεται κατὰ τόπους ἢ τρόπους δέκα. καὶ πρῶτος μὲν ὁ ἐκ τοῦ πυνθάνεσθαί πως καὶ διὰ τῆς ἐρωτήσεως συμβαίνων μάλιστα. τὸ γὰρ πειρᾶσθαι συσκιάζειν τὰ πολλὰ καὶ πρὸς κρύψιν ἄγειν ὡς ἐπὶ τὸ πολὺ τοῦτο ποιεῖν ἐστιν. Δεύτερος ὁ ἀόριστος· τὸ γὰρ πρὸς μηδὲν ὁρίσαντα κείμενον πρόβλημα ἐρωτᾶν θηρευτικόν ἐστι τούτου· εἰκῇ γὰρ λέγοντες ἁμαρτάνουσι μᾶλλον, εἰκῇ δὲ λέγουσιν, ὅταν μηδὲν ἔχωσι προκείμενον, εἰς ὃ ποιοῦνται τοὺς λόγους. ἀλλ’ ὁ μὲν σοφιστὴς ἔχων παρ’ ἑαυτῷ οὐκ ἀποκαλύπτει, ἀναγκάζει δὲ ἐπ’ ἀδήλοις λαμβάνειν λόγους· οἷον βουλόμενος λαβεῖν ὡς καλόν ἐστι τὸ ἐν ἱερῷ ἐσθίειν, ὅπερ ἄδοξον, οὐκ εὐθὺς προτείνει, ἀλλ’ ἐρωτᾷ ‘ὃ τῇ φύσει χρειῶδες, τοῦτο καλόν;‘ ναί. ‘τὸ ἐσθίειν οὐ δοκεῖ τῇ φύσει χρειῶδες; τὸ ἐν ἱερῷ ἄρα ἐσθίειν καλόν.‘ ἢ μᾶλλον ἐπ’ ἐκείνου ‘ἆρά γε ὃ ἁπλῶς ἐστι καλόν, οὐκ ἔστι τοῦτο καὶ πῇ καλόν; τὸ δὲ γυναικὶ συγγίνεσθαι ἁπλῶς ὂν καλόν. ἔσται ἄρα καὶ πῇ καλόν, ὥστε καὶ ἐν ἀγορᾷ.‘ Τρίτος τὸ ἐρωτᾶν πολλὰ καὶ πλείω τῶν ἀναγκαίων καὶ ἱκανῶν, κἂν ὡρισμένον ᾖ, πρὸς ὃ διαλέγεται.

67 οὐδὲν γὰρ ἧττον καὶ οὕτως ἄξει εἰς ἄδοξον τῷ ἐκκρούεσθαι τῷ πλήθει τὸν ἐρωτώμενον καὶ μὴ ἔχειν, πρὸς ὅπερ φυλάξεται. οἷον εἰ πρόκειται λαβεῖν ὡς οὐκ ἔστι χρόνος, ἐρωτᾷ ‘ἆρ’ ἔστι κίνησις;‘ καὶ τοῦτο λαβὼν ἐπάξει λοιπόν ‘καὶ ἐξ Ἀθηνῶν εἰς Θήβας κινηθήσεταί τις, ὁ δὲ κινούμενος διάστημά τι κινεῖται. τοιγαροῦν ὁ κινούμενος εἰς Θήβας πρῶτον τὸ ἥμισυ τοῦ διαστήματος κινηθήσεται καὶ τὸ τοῦ ἡμίσεος ἥμισυ καὶ τούτου δ’ αὖ πάλιν τὸ ἥμισυ, καὶ οὕτω δὴ προβαίνων ἔσται. ἀλλὰ μὴν τὰ τοῦ διαστήματος ἡμίση ἄπειρα, τὰ δὲ ἄπειρα ἀδιεξίτητα. οὐκ ἔστιν ἄρα ἐξ Ἀθηνῶν εἰς Θήβας ἐλθεῖν. ὥστε οὐδὲ κίνησις ἔσται, καὶ εἰ τοῦτο, οὐδὲ χρόνος· ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ χρόνος μέτρον κινήσεως.‘ Τέταρτος τὸ τὰ δοκοῦντα λέγειν ἀξιοῦν ποιεῖ τινα εὐπορίαν τοῦ εἰς ἄδοξον ἀγαγεῖν ἢ εἰς ψεῦδος, ἐάν τε ἐρωτώμενος φῇ ἢ ἀποφῇ τι τούτων, ἄγειν πρὸς ἃ εὐπορεῖ ἐπιχειρήματος. οἷον ἐπεὶ δοκεῖ ὁ πλούσιος τοῖς πολλοῖς εὐδαίμων, ἐρωτᾷ ὁ σοφιστής ‘ἆρ’ οὐχ ὁ πλούσιος εὐδαίμων;‘ ναί. οὕτω γὰρ δοκεῖ τοῖς πολλοῖς. ‘τί δέ; Ἀρχέλαος ὁ Περδίκκα ὁ τύραννος οὐ πλούσιος;‘ ναί. ‘εὐδαίμων ἄρα. ἀλλὰ μὴν καὶ δυστυχέστατος πάντων ἀνθρώπων· τοὺς γὰρ γονεῖς καὶ τοὺς ἀδελφοὺς ἀπέκτεινεν ἐπὶ τῇ προσλήψει τῆς τυραννίδος.

68 ‘ καὶ καταφήσας μὲν οὕτω παρα λελόγισται ἄξαντος τοῦ σοφιστοῦ ἐπὶ τὸν Ἀρχέλαον, ἐν ᾧ ἐπιχειρημάτων εὐπόρησε· μὴ δόντος δὲ περιστήσεται ἐπισείων τὴν τῶν πολλῶν δόξαν τε καὶ συνήθειαν εὐδαίμονα τιθεμένην τὸν πλούσιον. πλὴν ἧττον δύνανται κακουργεῖν ἐνταῦθα οἱ σοφισταί, ὅταν ᾖ ὡρισμένον, πρὸς ὃ διαλέγεται, ἢ ὅταν ἀόριστον. εἰ μή τι ἄλλο, ἐν τούτοις γοῦν ἐπὶ τέλει συμπεραναμένου τοῦ σοφιστοῦ συνιεὶς ὁ παραλογισθεὶς δύναται ἀπαιτῆσαι, τί τοῦτο πρὸς τὸ προκείμενον, καὶ τί συμβάλλεται πρὸς τὸ ἐν ἀρχῇ. Πέμπτος τόπος καὶ στοιχεῖον τοῦ τυχεῖν ψεύδους ἤ τινος ἀδόξου τὸ μηδεμίαν εὐθὺς ἐρωτᾶν θέσιν μηδὲ δῆλον ποιεῖν τὸ βούλημα ὡς ἐπηρεάσων εἴη, ἀλλὰ μᾶλλον σκήπτεσθαι ἀγνοεῖν καὶ ἐρωτᾶν χάριν τοῦ μαθεῖν. χώραν οὖν ἐπιχειρήματος ἡ σκῆψις ποιεῖ· ἀσκεπτότερον γὰρ οὕτω καὶ προχειρότερον ὁ ἐρωτώμενος δώσει. Ἕκτος, ὃ δὴ καὶ μόνοις τοῖς σοφισταῖς, τὸ ἄγειν εἰς τοιαῦτα πρὸς ἃ εὐπορεῖ λόγων. ἔστι δὲ τοῦτο ποιεῖν καὶ καλῶς καὶ μὴ καλῶς, ὡς ἐλέχθη πρότερον ἐν τοῖς Τοπικοῖς. τὸ γὰρ ἐξίστασθαί τινα τοῦ προκειμένου καὶ ἐπ’ ἄλλα διατρίβειν καλῶς μὲν γένοιτ’ ἄν, ὅταν μὴ συγχωρῆταί τις πρότασις ἐρωτωμένη ἀναγκαία οὖσα καὶ συντελοῦσα πρὸς τὴν ἀπόδειξιν· τότε γὰρ ἐξίστασθαι μὲν ἀνάγκη, σπεύδειν δὲ πρὸς κατασκευὴν τῆς προτάσεως.

69 οἷον προκειμένου ὡς ἡ ἡδονὴ οὐκ ἀγαθόν, σπεύδων ὁ ἐρωτῶν δεῖξαι τοὐναντίον ὅτι ἀγαθὸν ἐρωτήσει ‘ἆρα ἡ ἡδονὴ οἰκεῖον;‘ μὴ δόντος δὲ τοῦ ἀποκρινομένου ἀναγκάζεται ἐκστῆναι τοῦ προκειμένου καὶ τοῦ κατασκευάζειν τὴν ἡδονὴν ἀγαθὸν εἶναι, καὶ ἐρωτᾷ τὰ πρὸς σύστασιν τῆς εἰρημένης προτάσεως, οἷον ‘ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν;‘ ναί. ‘τὸ δὲ κατὰ φύσιν οἰκεῖον;‘ ναί. ‘ἡ ἡδονὴ ἄρα οἰκεῖον. τὸ δὲ οἰκεῖον ἀγαθόν, ὥστε καὶ ἡ ἡδονή.‘ οὐ καλῶς δ’ ἂν γένοιτο, εἴ τις διὰ μακροῦ δεικνύει τὸ δι’ ὀλίγων δείκνυσθαι πεφυκὸς μὴ οὔσης ἀνάγκης, ὥσπερ ὁ μέλλων δεῖξαι τὴν ψυχὴν καὶ λογικὴν καὶ ἄλογον οὕτω· ‘ἆρα οὐχ ἡ ψυχὴ γινώσκει τὸν ἥλιον καὶ σφαιροειδῆ τὸν οὐρανόν; τί δέ; οὐ πέμπτον σῶμά ἐστιν ὁ οὐρανός; τί δέ; ὁ ἥλιος οὐ κινεῖται κύκλῳ; ἄρα τὸ γινώσκειν ταῦτα πάντα καὶ λογίζεσθαι λογικῆς ἐστι.‘ ‘πάλιν οὐκ ἔστιν ὀρεκτόν, οὗ ἡ ψυχὴ ὀρέγεται;‘ ναί. ‘τὸ δὲ ὀρεκτὸν οὐ κινεῖ τοιάνδε κίνησιν;‘ ναί. ‘ὀρέξεις δὲ ἐν τῇ ψυχῇ οὐχὶ θυμὸς καὶ ἐπιθυμία, αἳ καὶ ἐν ἀλόγοις;‘ ναί. ‘ἡ ψυχὴ ἄρα καὶ λογικὴ καὶ ἄλογος.‘ ταῦτα διὰ μακροῦ καὶ ἀσυντελῆ τὰ πλείω. ἦν γὰρ τοῦτο καὶ ἄλλως δεῖξαι καὶ μᾶλλον ἐγγυτέρως τῷ τὰ διὰ μακροῦ ἐν βραχεῖ συναιρῆσαι· ‘πότερον ἡ ψυχὴ λογίζεται;‘ ναί. ‘τί δέ; οὐχὶ καὶ τὰ τῶν ἀλόγων ἔχει πάθη τὸ θυμοῦσθαι καὶ ἐπιθυμεῖν;‘ ναί. ‘ἡ ψυχὴ ἄρα καὶ λογικὴ καὶ ἄλογος.‘ καὶ ταῦτα μὲν ἐν τούτοις· ἡμεῖς δὲ φθάνο μεν κἀν τοῖς Τοπικοῖς διελόντες, καθ’ ὅσα τοῦ προκειμένου ἐξίστασθαι δεῖ· ἢ γὰρ ὄγκου χάριν ἢ ἐπαγωγῆς καὶ τοῦ δοθῆναι τὸ καθόλου ἢ πρὸς τὸ σαφέστερον γενέσθαι τὸν λόγον ἢ μὴν πρὸς κρύψιν καὶ τὸ λαθεῖν.

70 Ἕβδομος τόπος πρὸς τὸ παράδοξα λέγειν ὁ ἀπὸ τῶν αἱρέσεων, τὸ σκοπεῖν, ἐκ τίνος γένους καὶ ποίας αἱρέσεως ὁ προσδιαλεγόμενός ἐστι, καὶ ἐπεὶ ἑκάστη ἴδιόν τι πρεσβεύει παρὰ τὰς ἄλλας καὶ ἔστιν ὃ διαφέρει (τοῖς τε γὰρ Πλατωνικοῖς αἱ ἰδέαι καὶ τοῖς Ἀριστοτελικοῖς τὸ πέμπτον σῶμα καὶ ἄλλοις ἄλλο τι ἀφωρισμένως ἐδογματίζετο), ἐρωτᾶν ὃ τοῖς πολλοῖς οὗτοι λέγουσιν ἄδοξον (ἔστι γὰρ ἑκάστοις τὸ ἴδιον), οἷον τοὺς Περιπατητικούς, εἰ ἐκ τεσσάρων στοιχείων ὁ οὐρανός· εἰ γὰρ μὴ ὁμολογοῖεν, ἔσονται λέγειν παρὰ τὴν δόξαν τῶν πολλῶν. στοιχεῖον δὲ πρὸς ταῦτα καὶ μέθοδος τὸ τὰς ἑκάστων εἰληφέναι θέσεις ἐν ταῖς προτάσεσι. λύσις δὲ τὸ ἐμφανίζειν ὡς οὐ διὰ τὸν λόγον συμβαίνει τὸ ἄδοξον· οὐ γὰρ δι’ αὐτὸ τὸ πέμπτον εἶναι σῶμα τὸν οὐρανὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντιλέγεται, φαίη ἂν Περιπατητικὸς ἀνήρ, ἀλλὰ διὰ τὸ προκατεσχῆσθαι ἑτέρως ἐν δόξῃ τοὺς πολλούς. τοῦτο δὲ καὶ βούλεται πᾶς ἀγωνιζόμενος. Ὄγδοος δὲ τρόπος ὁ ἐκ τῶν βουλήσεων καὶ τῶν φανερῶν δοξῶν. οὐ γὰρ ταὐτὰ βούλονταί τε καὶ φασίν, ἀλλὰ λέγουσι μὲν τοὺς εὐσχημονεστάτους τῶν λόγων, βούλονται δὲ τὰ φαινόμενα λυσιτελεῖν, οἷον τὸ τεθνάναι καλῶς μᾶλλον δεῖν φασιν ἢ τὸ ζῆν ἡδέως, καὶ πένεσθαι δικαίως ἢ πλουτεῖν αἰσχρῶς, βούλονται δὲ τἀναντία.

71 τὸν μὲν οὖν λέγοντα κατὰ τὰς βουλήσεις εἰς τὰς φανερὰς δόξας ἀκτέον, τὸν δὲ κατὰ ταύτας εἰς τὰς ἀποκεκρυμμένας· ἀμφοτέρως γὰρ ἀναγκαῖον παράδοξα λέγειν· ἢ γὰρ πρὸς τὰς φανερὰς δόξας ἢ πρὸς τὰς ἀφανεῖς ἐροῦσιν ὑπεναντίον. Ἔννατος, ὃς δὴ καὶ πλεῖστος καὶ ἰσχυρότατος 〈εἰσ〉 τὸ ποιεῖν παράδοξα λέγειν, τὸ ἐπιχειρεῖν ἀπὸ τοῦ κατὰ φύσιν καὶ κατὰ νόμον, ὅπερ ὁ Καλλικλῆς ἐν τῷ Γοργίᾳ γέγραπται ποιῶν τῷ Πλατωνικῷ διαλόγῳ περὶ τῆς δικαιοσύνης πρὸς τὸν Σωκράτην, καὶ οἱ ἀρχαῖοι δὲ πάντες ᾤοντο. δεῖ οὖν πρὸς μὲν τὸν εἰπόντα κατὰ φύσιν κατὰ νόμον ἀπαντᾶν, πρὸς δὲ τὸν κατὰ νόμον ἐπὶ τὴν φύσιν ἄγειν· ἀμφοτέρως γὰρ λέγειν εἶναι παράδοξα. ἦν δὲ τὸ μὲν κατὰ φύσιν αὐτοῖς τὸ ἀληθές, τὸ δὲ κατὰ νόμον τὸ τοῖς πολλοῖς δοκοῦν. ὥστε δῆλον ὅτι καὶ οἱ πάλαι ὥσπερ καὶ οἱ νῦν ἢ ἐλέγχειν ἢ παράδοξα λέγειν τὸν ἀποκρινόμενον ἐπεχείρουν ποιεῖν. κατεσκεύαζε δὲ ὁ Καλλικλῆς τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν καλόν, ὅτι πρεσβύτερον, τοῦτο δὲ ὅτι κατὰ φύσιν, τῷ τὴν ἰσχύν, ὑφ’ ἧς ἀδικοῦσι λέων καὶ λύκος καὶ ἱέραξ καὶ ὅσα ἄλλα τῶν ζώων ἁρπακτικὰ καὶ σαρκοβόρα, ὑπὸ φύσεως ἔχειν, τά τε αὖ ἀσθενῆ φύσει τὸ κακῶς πάσχειν ἔχειν, τῷ μὴ ἑαυτοῖς ἀρκεῖν.

72 ἡ μέντοι γε δικαιοσύνη κατὰ νόμον καλὸν καὶ δεύτερον τῆς ἀδικίας, ὥστε καὶ τὸν νόμον δειλῶν ἀνθρώπων ἔλεγεν εὕρημα. Δέκατος τὸ ὥσπερ ἀντιφατικῶς ἐρωτᾶν. ἔνια γὰρ τῶν ἐρωτημάτων ἔχει τὸ ἀμφοτέρως ἄδοξον εἶναι τὴν ἀπόκρισιν, οἷον πότερον τοῖς σοφοῖς ἢ τῷ πατρὶ πείθεσθαι δεῖ, καὶ τὰ συμφέροντα πράττειν ἢ τὰ δίκαια, καὶ πότερον τὸ ἀδικεῖσθαι αἱρετώτερον ἢ τὸ βλάπτειν καὶ ἀδικεῖν· τούτων γὰρ τὰ μὲν δοκεῖν τοῖς πολλοῖς τὰ δὲ τοῖς σοφοῖς, ὥστ’ εἰ μὲν ὁ ἐρωτώμενος ἀποδοίη, ὡς οἱ περὶ λόγους ἀρέσκονται, εἰς τὰ τοῖς πολλοῖς ἄγειν, ἐὰν δ’ ὡς οἱ πολλοί, ἐπὶ τὰ τοῖς σοφοῖς. φασὶ γὰρ οἱ μὲν ἐξ ἀνάγκης τὸν εὐδαίμονα δίκαιον εἶναι, τοῖς δὲ πολλοῖς ἄδοξον τὸ βασιλέα μὴ εὐδαιμονεῖν. ἔστι δὲ τὸ εἰς τὰ οὕτως ἄδοξα συνάγειν τὸ αὐτὸ τῷ πρὸ αὐτοῦ τῷ ἄγειν εἰς τὴν κατὰ φύσιν καὶ κατὰ νόμον ὑπεναντίωσιν· ὁ μὲν γὰρ νόμος δόξα τῶν πολλῶν, οἱ δὲ σοφοὶ κατὰ φύσιν καὶ κατ’ ἀλήθειαν λέγουσι. Καὶ τὰ μὲν παράδοξα ἐκ τούτων δεῖ ζητεῖν τῶν τόπων, περὶ δὲ τοῦ ποιῆσαι ἀδολεσχεῖν τόποι δύο. ὃ μέντοι λέγομεν τὸ ἀδολεσχεῖν, εἰρήκαμεν ἤδη· ἔστι γὰρ τὸ ἀναγκάζεσθαι πολλάκις λέγειν τὸ αὐτό. πάντες δὲ οἱ μετὰ μικρὸν ῥηθησόμενοι λόγοι τοῦτο βούλονται ποιεῖν. καὶ στοιχεῖον μὲν ὥσπερ κοινὸν πάσης ἀδολε σχίας τὸ οἴεσθαι ἐλάχιστον ἢ μηδὲν διαφέρειν τὸ ὄνομα ἢ τὸν λόγον εἰπεῖν· τὸ δὲ ἔστι μὲν ὡς ἔστι δ’ ὡς οὔ, καὶ τὸ μὲν ἐνεργείᾳ τὸ δὲ δυνάμει.

73 διπλάσιον γὰρ καὶ διπλάσιον ἡμίσεος ταὐτό· λόγος γὰρ τοῦ διπλασίου τὸ εἶναι ἡμίσεος. ὥστε εἴ τις τὸ διπλάσιον ἡμίσεος εἴποι διπλάσιον, ἠδολέσχησε· δυνάμει γὰρ οὕτως εἶπεν, ὡς τὸ διπλάσιον ἡμίσεος ἡμίσεος. καὶ ἐπὶ συλλογισμοῦ· τὸ μέγεθος τόδε τοῦδε διπλάσιον, τὸ διπλάσιον ἡμίσεος διπλάσιον, ἄρα τὸ μέγεθος τόδε τοῦδε διπλάσιον ἡμίσεος ἡμίσεος ἡμίσεος. ὁ γὰρ διπλάσιον εἰπὼν δυνάμει καὶ τὸ ἥμισυ λέγει τῷ τὰ πρός τι λεγόμενα ἢ νοούμενα συνεισάγειν καὶ τὰ πρὸς ἃ λέγεται. ὥστε ὁσάκις ἐρρέθη τὸ διπλάσιον, τοσαυτάκις καὶ τὸ ἥμισυ. δὶς δὲ εἴρηται τὸ διπλάσιον ἐν τῇ μείζονι προτάσει· τοσαυτάκις ἄρα καὶ τὸ ἥμισυ καὶ νοηθήσεται καὶ λεχθήσεται. κεῖται δὲ καὶ ἐνεργείᾳ ἅπαξ, καὶ συναφθὲν τρὶς ἔσται εἰρημένον. πάλιν ἡ ἐπιθυμία ἔφεσις, τοῦτο δὲ ὄρεξις ἡδέος, ἔστιν ἄρα ἡ ἐπιθυμία ὄρεξις ἡδέος ἡδέος ἡδέος. ὡς ἐν γένει μέντοι ἡ ἐπιθυμία τῇ ὀρέξει, ἄμφω δὲ πρός τι, καὶ ὁ εἰπὼν ἐπιθυμίαν ἢ ὄρεξιν δυνάμει λέγει καὶ τὸ ἡδέος· κεῖται δὲ καὶ ἐνεργείᾳ, ὥστε τρὶς τὸ ἡδὺ ῥηθήσεται ἐν τῷ συμπεράσματι. Εἰσὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ πάντες οἱ τοιοῦτοι τῶν λόγων ἔν τε τοῖς πρός τι, ὅσα μὴ μόνον τὰ γένη ἀλλὰ καὶ τὰ εἴδη πρός τι λέγεται καὶ πρὸς τὸ αὐτὸ καὶ ἓν ἀποδίδοται ὄνομά τε καὶ πτῶσιν, οἷον ἥ τε ὄρεξις τινὸς ὄρεξις, καὶ ἡ ἐπιθυμία τινὸς ἐπιθυμία (τοῦ γὰρ ἡδέος ἄμφω), καὶ τὸ διπλάσιον τινὸς διπλάσιον (ἡμίσεος γάρ)· ἀλλὰ καὶ ἐν ἐκείνοις, ὧν μὴ ὄντων πρός τι κατηγορουμένων δὲ κατ’ οὐσίας τινός, ἧς καί εἰσι ταῦτα πάθη καὶ ἕξεις, παραλαμβάνεται ἐν τῷ ὁρισμῷ αὐτῶν ἡ ὑποκειμένη αὐτοῖς οὐσία· οἷον ἡ σιμότης καὶ τὸ περιττὸν οὐ πρός τι, πάθη μέντοι τινὰ καὶ ἕξεις τῶν ὑποκειμένων, ἡ μὲν τῆς ῥινός, τὸ δὲ τοῦ ἀριθμοῦ.

74 ἐν γοῦν τοῖς αὐτῶν ὁρισμοῖς λαμβάνομεν καὶ τὰ ὑποκείμενα· σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί, καὶ περιττὸν ἀριθμὸς μονάδι διαφέρων ἀρτίου. ὥστε ὁ ῥῖνα σιμὴν εἰπὼν ἢ τὸν τρία περιττὸν ἀριθμὸν ἠδολέσχησε· δὶς γὰρ ἐν ἑκατέροις ἔφθεγκται τὸ αὐτό, τῷ ἐνεῖναι δυνάμει κἀν τῷ σιμῷ τὴν ῥῖνα καὶ τῷ περιττῷ τὸν ἀριθμόν· καὶ ὁ λέγων ἤδε ἡ ῥὶς σιμή, τοῦτο δὲ κοίλανσις ῥινός, συμπερανεῖ ‘ἔστιν ἄρα ῥὶς ῥὶς κοίλη.‘ ἀπαντήσοι δ’ ἄν τις κἀνταῦθα πρὸς ταῦτα, ὡς ἐχρῆν δήπου τὸν σοφιστὴν προπυνθάνεσθαι τὸν προσδιαλεγόμενον, εἰ σημαίνειν οἴεταί τι καθ’ αὑτὸ τὸ διπλάσιον χωρὶς τοῦ ἡμίσεος ἢ μή, δόντος δὲ σημαίνειν προσθεῖναι, πότερον τὸ αὐτὸ ὃ κἂν μετὰ τοῦ ἡμίσεος, ἢ ἕτερον, καὶ φήσαντος ταὐτὸν ἐλέγχειν· ἀδολεσχεῖ γάρ· διελόντος δὲ ὡς τὸ μὲν ἐνεργείᾳ τὸ δὲ δυνάμει, πῶς ἔσται ἀδολεσχῶν; ὧν οὐδὲν ποιῶν ἀλλὰ τῇ πρώτῃ ἐρωτήσει τὸ συμπέρασμα ἐπάγων δοκεῖ ποιεῖν ὃ σπουδάζει.

75 Εἰπόντας οὖν καὶ περὶ τούτων τοσαῦτα λείπεται λέγειν καὶ περὶ σολοικισμοῦ· τοῦτο γὰρ ἦν ἔσχατον τῆς σοφιστικῆς προαιρέσεως. ὅπερ οἷον μέν ἐστιν εἴρηται πρότερον, τὸ ποιῆσαι τῇ λέξει βαρβαρίζειν. ἔστι δὲ τοῦτο καὶ ποιεῖν ἀληθῶς, ὡς ὅταν τις ἁμαρτάνῃ περὶ τὴν κλῆσιν ἢ τὰ στοιχεῖα ἢ τὰς προσῳδίας, ἢ μὴ ποιῶν φαίνεται ποιεῖν, ὡς ἐπὶ τῶν σοφιστῶν, ἢ ποιεῖ μέν, μὴ δοκεῖ δ’ αὐτῷ, καθάπερ ὁ Πρωταγόρας τὸν μῆνιν οὐλόμενον λέγων οὐκ ἐδόκει αὑτῷ σολοικίζειν, ἀλλὰ τοὺς λέγοντας τὴν μῆνιν καὶ τὴν οὐλομένην. εἰ δὲ ταῦτα, κἂν τέχνῃ δύναταί τις τοῦτο ποιεῖν καὶ συλλογισμῷ λαμβάνειν· διὸ πολλοὶ τῶν λόγων οὐ συλλογιζόμενοι σολοικισμὸν φαίνονται συλλογίζεσθαι, καθάπερ ἐν τοῖς ἐλέγχοις. Ἀρχὴ δὲ τῶν σολοικισμῶν καὶ ὥσπερ στοιχεῖον τῆς φαινομένης ἀπάτης ἡ τῶν οὐδετέρων ὀνομάτων χρῆσις, καὶ τούτων τὰ εἰς ο καὶ εἰς ον μάλιστα λήγοντα, ὡς τὸ ἄλλο, τοῦτο, ἐκεῖνο, καὶ τὰ ἐν ὑποτακτικοῖς ἰσοδυναμοῦντα ἄρθροις, ὡς τὸ ὅ, ὅπερ, ἅ, ἅττα· μέσα γὰρ ὄντα τῆς τε τῶν ἀρρένων καὶ θηλειῶν σημασίας, ἔτι δὲ καὶ τὴν αὐτὴν πτῶσιν ἔχοντα ὀρθὴν καὶ αἰτιατικὴν ἄδηλον ποιεῖ προφερόμενα ἐν τῇ συντάξει, ποίου γένους ἢ πτώσεως τυγχάνει σημαντικά.

76 τὸ μὲν γὰρ οὗτος ἄρρεν σημαίνει, τὸ δὲ αὕτη θῆλυ, τὸ δὲ τοῦτο τό τε μεταξὺ καὶ ἐκείνων ἑκάτερον. τί τοῦτο; Καλλιόπη, ξύλον, Κορίσκος· ἐφήρμοσε γὰρ τοῖς τρισί. τοῦ μὲν οὖν ἄρρενος καὶ τοῦ θήλεος διαφέρουσιν αἱ πτώσεις ἀλλήλων ἐν ἑκατέρῳ, καὶ ἰδίως ἑκάστη τῇ προφορᾷ ἀφορίζεται, γενικὴ δοτικὴ καὶ αἰτιατική· ἐν μέντοι τοῖς οὐδετέροις ἐκτὸς τῆς γενικῆς καὶ δοτικῆς αἱ ἄλλαι ταυτίζονται, ὅπερ δὴ καὶ αὐτὸ οὐ μικρὰ συνδίδωσι πρὸς τὸ παραλογίσασθαι. ὡς γοῦν πολλάκις δοθέντος τοῦτο συνελογίσθη τοῦτον, οὕτω κἀνταῦθα πάλιν τὸ προταθὲν κατ’ εὐθεῖαν εἰς αἰτιατικὴν ἐξελήφθη. ἔτι τοῦ ἔστι καὶ τοῦ εἶναι καὶ τῶν ἑκατέροις συστοίχων ἡ τοιάδε χρῆσις καὶ σύνταξις πλεῖστον ὅσον συμβάλλεται πρὸς τὸ γενέσθαι σολοικισμόν· τὸ μὲν γὰρ ὁριστικὸν εὐθείᾳ συντάσσεται, τὸ δὲ ἀπαρέμφατον αἰτιατικῇ, οἷον ἔστι τοῦτο Κορίσκος, εἶναι τοῦτο Κορίσκον· ἀλλαττόμενα δὲ σολοικίζει. καὶ ἐπὶ τῶν λεγομένων σκευῶν, ἐχόντων δὲ ἄρρενος ἢ θηλείας κλῆσιν, ὡς ἀσκὸς καὶ κλίνη· οἰκεία γὰρ τῶν σκευῶν κατάληξις ἐν οὐδετέροις ἡ εἰς ο τυγχάνει καὶ ν , οἷον ξύλον, σχοινίον. καὶ τρόπον τινὰ ὅμοιός ἐστιν ὁ σολοικισμὸς τοῖς παρὰ τὸ τὰ μὴ ὅμοια ὁμοίως λεγομένοις ἐλέγχοις, οὓς καὶ παρὰ τὸ σχῆμα τῆς λέξεως ὀνομάζομεν. ὡς γὰρ ἐν ἐκείνοις ἐπὶ τῶν πραγμάτων, τούτοις ἐπὶ τῶν ὀνομάτων συμπίπτει τὸ σολοικίζειν. φανερὸν οὖν ὡς ὁ σολοικισμὸς ἐκ τῶν εἰρημένων πτώσεων

συλλογίζεται. Εἴδη μὲν οὖν ταῦτα τῶν ἀγωνιστικῶν λόγων καὶ μέρη τῶν εἰδῶν καὶ τρόποι οἱ εἰρημένοι.

77 ὃ δὲ ἐν τοῖς Τοπικοῖς εἴρηται, ὡς οὐ τὰς ἀρχὰς τῶν ἐπιχειρημάτων εὑρεῖν καθάπαξ ἀρκεῖ, ἀλλὰ καὶ ἐρωτηματίσαι τοιῶσδε μεγάλα συμβάλλεται πρὸς τὸ ῥᾷον τυχεῖν συμπεράσματος, τοῦτο δὴ κἀνταῦθα λέγομεν· διαφέρει γὰρ οὐ μικρόν, ἐὰν ταχθῇ πως τὰ περὶ τὴν ἐρώτησιν πρὸς τὸ λανθάνειν καὶ ἀπατᾶν τὸν ἐρωτώμενον. ὅθεν ἐφεξῆς τοῖς εἰρημένοις περὶ τούτων ἂν εἴη λεκτέον πρῶτον. Ἔστι δὲ πρὸς τὸ ἐλέγχειν καὶ παραλογίζεσθαι ἓν μὲν μῆκος· χαλεπὸν γὰρ ἅμα πολλὰ συνορᾶν καὶ φυλάττεσθαι. εἰς δὲ τὸ μῆκος τοῖς εἰρημένοις ἐν τοῖς Τοπικοῖς στοιχείοις χρηστέον τῷ τε μὴ μόνον τὰς συνακτικὰς προτάσεις τοῦ συμπεράσματος καὶ ἀναγκαίας ἐρωτᾶν, ἀλλὰ καὶ τὰς μὴ συμβαλλομένας παρεμβάλλειν καὶ καταποικίλλειν τὸν λόγον παραβολαῖς τε καὶ παραδείγμασι. δεύτερον δὲ τάχος τῷ συνεχεῖς τὰς ἐρωτήσεις καὶ συντόμους ποιεῖσθαι· ὑστερίζοντες γὰρ ἧττον προορῶσι. τρίτον ὀργὴ καὶ φιλονεικία· ταραττόμενοι γὰρ ἧττον δύνανται φυλάττεσθαι πάντα. στοιχεῖα δὲ τῆς ὀργῆς τό τε φανερὸν ἑαυτὸν ποιεῖν βουλόμενον ἀδικεῖν καὶ τὸ παρὰ πάντας ἀναισχυντεῖν. ἔτι τε τὸ ἐναλλὰξ τιθέναι τὰ ἐρωτήματα συμβάλλεται πρὸς τὸ λαθεῖν. οὐ γὰρ τὰς ἀναγκαίας καὶ συνακτικὰς αὐτόθεν τοῦ συμπεράσματος προτάσεις ἐφεξῆς ἢ πρώτας θήσομεν, οὐδὲ τοὺς συλλογισμοὺς κατὰ τάξιν συμπλέξομεν, ὥσπερ ἂν καὶ μηδενὸς ἐφεστῶτος, ἀλλ’ ἐπεμβαλοῦμεν καὶ τὸ συνεχὲς διακόψομεν καὶ πρὸς τὸ λυσιτελοῦν διαθήσομεν.

78 ἔτι συντελεῖ πρὸς ἀπάτην, ἐάν τις πρὸς τὸ αὐτὸ πλείους ἔχῃ λόγους καὶ τοὺς ἐναντίους καὶ οὕτως καὶ οὐχ οὕτως κατασκευάζειν δυνατούς· ἅμα γὰρ συμβαίνει τῷ ἀποκρινομένῳ ἢ πρὸς πλείω ἢ πρὸς τἀναντία ποιεῖσθαι τὴν φυλακήν, λάθοι δ’ ἂν δοὺς ἐν πλείοσι μεριζόμενος ὃ μὴ ἂν ἄλλως ἔχων. δείξει γάρ τις τὴν ἡδονὴν ἀγαθόν, καὶ ὅτι κατὰ φύσιν, καὶ ὅτι πάντα αὐτῆς ἐφίεται· καὶ αὖ ὅτι οὐκ ἀγαθὸν τῷ γένεσιν εἶναι εἰς φύσιν αἰσθητὴν καὶ ἐμποδίζειν τῷ φρονεῖν. ὅλως δὲ πάντα τὰ πρὸς κρύψιν λεχθέντα πρότερον χρήσιμα καὶ πρὸς τοὺς ἀγωνιστικοὺς λόγους καὶ σοφιστικούς· ἡ γὰρ κρύψις τοῦ λαθεῖν χάριν, τὸ δὲ τῆς ἀπάτης. Πρὸς δὲ τοὺς ἀνανεύοντας ἅττ’ ἂν οἰηθῶσιν εἶναι πρὸς τὸν λόγον, ἐξ ἀποφάσεως ἐρωτητέον ὡς τοὐναντίον βουλόμενον, (οἷον μὴ οὕτω ‘ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν;‘ ἀλλ’ οὕτω ‘ἆρ’ οὐ δοκεῖ σοι ὡς οὐκ ἔστιν ἡ ἡδονὴ κατὰ φύσιν;‘ εἴπερ γὰρ ἀνανεύσει τὴν κατάφασιν, τίθησιν ἣν ζητοῦμεν), καὶ ἐξ ἴσου ποιοῦντα τὴν ἐρώτησιν· ἀδήλου γὰρ ὄντος τοῦ τί βούλεται λαβεῖν ἧττον δυσκολαίνουσιν, οἷον ‘ἆρά γε ἡ ἡδονὴ κατὰ φύσιν ἢ παρὰ φύσιν;‘ ὅταν δὲ ἐπὶ τῶν μερῶν διδῷ τις τὸ καθ’ ἕκαστον, ἐπάγοντα τὸ καθόλου πολλάκις οὐκ ἐρωτητέον, ἀλλ’ ὡς δεδομένῳ χρηστέον· ἐνίοτε γὰρ καὶ αὐτοὶ οἴονται δεδωκέναι καὶ τοῖς ἀκούουσι φαίνονται διὰ τὴν τῆς ἐπαγωγῆς μνείαν, ὡς οὐκ ἂν ἠρωτημένα μάτην.

79 οἷον εἰ πρόκειται λαβεῖν τὸ πάντα ἄνθρωπον εἶναι λογικόν, οὕτως ἐρωτητέον ‘ἆρά γε ὁ Σωκράτης οὐκ ἔστι λογικὸς ἄνθρωπος ὤν; τί δέ; ὁ Πλάτων καὶ Ἀλκιβιάδης καὶ ὅδε καὶ ὅδε οὐκ εἰσὶ λογικοὶ ἄνθρωποι ὄντες;‘ ναί φησιν. εἶτα ὡς ὁμολογούμενον ἐπακτέον τὸ καθόλου χωρὶς ἐρωτήσεως ‘πᾶς ἄρα ἄνθρωπος λογικός.‘ ἐν οἷς τε μὴ ὀνόμασι σημαίνεται τὸ καθόλου, ἀλλὰ τῇ κατὰ μέρος ὁμοιότητι λόγῳ τὸ κοινὸν θηρᾶται, χρηστέον πρὸς τὸ συμφέρον· οἷον ἐπεὶ τὸ κερασφόρον μὴ ὄνομα ὂν ἀλλὰ λόγος τῷ εἶναι σύνθετον, καὶ ἐξ ὁμοιότητος ἐπὶ τὰ μὴ τῶν ζώων ἀμφόδοντα εἴληπται, οἷον αἶγα, πρόβατον, βοῦν καὶ τὰ λοιπά, χρηστέον ταῖς ἐπαγωγαῖς πρὸς τὸ συμφέρον, ὡς ἐπεὶ τὸ καὶ τὸ κερασφόρα ὄντα οὐκ ἀμφόδοντα, καὶ πᾶν ἄρα· καὶ ἄλλου μὲν ἐπάγοντος αὐτὸν φέρειν ἔνστασιν τὸν ὄνον τὸν Ἰνδικὸν ἀμφόδοντα ὄντα καὶ κερασφόρον, αὐτὸν δὲ χρώμενον προσομολογεῖν οὕτως ἐπὶ πάντων. ἔτι χρησιμεύσει πρὸς τὸ λαβεῖν τὴν ἀναγκαίαν πρότασιν καὶ τὸ πυνθάνεσθαι παραβάλλοντα τὸ ἐναντίον, οἷον εἰ δέοι λαβεῖν ὅτι πάντα δεῖ πείθεσθαι τῷ πατρί, οὕτως ἐρωτητέον ‘πότερον πάντα δεῖ πείθεσθαι τῷ πατρὶ ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντα ἀπειθεῖν;‘ καὶ πάλιν, εἰ δέοι λαβεῖν τὸ ὅτι δεῖ πολλάκις πολλὰ πείθεσθαι, οὕτως ‘πότερον πολλάκις πολλὰ πείθεσθαι τῷ πατρὶ δεῖ ἢ ὀλίγα;‘ παρατιθεμένων γὰρ ἐγγὺς τῶν ἐναντίων καὶ μείζω καὶ μικρὰ φαίνεται καὶ χείρω καὶ βελτίω τοῖς ἀνθρώποις.

80 Ἔτι δὲ σφόδρα πολλάκις ποιεῖ ἐληλέγχθαι καὶ τὸ σοφιστικὸν συκοφάντημα τῶν ἐρωτώντων, τὸ μηδὲν συλλογισαμένους μὴ ἐρώτημα ποιεῖν τὸ τελευταῖον, ἀλλὰ συμπεραντικῶς καὶ ἀποφαντικῶς ἐπάγειν ὡς συλλελογισμένους, οἷον οὐκ ἄρα τὸ καὶ τό, ὡς ποιεῖ Μέλισσος· τὸ παρὰ τὸ ὂν οὐκ ὄν φησι, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν. τάς τε γὰρ προτάσεις ψευδεῖς λαμβάνει (τὰ γὰρ ὄντα πολλὰ τῇ ἐναργείᾳ καὶ οὐκ ἔδει μοναδικῶς προφέρειν, καὶ τὸ λευκὸν οὐκ ὂν μέν, ὅτι μὴ ποσόν, οὐχ ἧττον δὲ ὄν) καὶ ὃ μὴ συνελογίσατο, συνεπέρανε. Σοφιστικὸν καὶ τὸ κειμένου παραδόξου τὸ φαινόμενον ἀξιοῦν ἀποκρίνεσθαι προσκειμένου τοῦ δόξαντος ἐξ ἀρχῆς, καὶ τὴν ἐρώτησιν τοιούτων οὕτω ποιεῖσθαι ‘πότερόν σοι δοκεῖ τόδε, ἢ οὔ;‘ οἷον κειμένου παραδόξου ὡς τὸ φονεύειν καὶ ἀδικεῖν εὐδαιμονεῖν ἐστιν, ἡμεῖς ἐρωτῶμεν ἐπὶ τὸν Ἀρχέλαον, εἰ βασιλεὺς ὢν μὴ εὐδαίμων ἐστί, καὶ προσαναγκάζομεν τὸ δοκοῦν εἰπεῖν, καὶ καταφήσαντος μὲν τὸ κείμενον πρότερον συνεισάγεσθαι (ἐν γὰρ τῷ Ἀρχελάῳ καὶ τὸ ἀδικεῖν καὶ εὐδαιμονεῖν φονεύσαντι τοὺς οἰκείους καὶ πλουτοῦντι καὶ βασιλεύοντι), μὴ δόντος δὲ ἐπὶ τὴν δόξαν τῶν πολλῶν ἀκτέον.

81 ἀνάγκη γάρ, ἂν ᾖ τὸ ἐρώτημα ἐξ ὧν ὁ συλλογισμός, ἢ ἔλεγχον ἢ παράδοξον γίνεσθαι, δόντος μὲν ἔλεγχον, μὴ δόντος δὲ μηδὲ δοκεῖν φάσκοντος ἄδοξον, μὴ θαρρούντως δὲ ἀποφαινομένου ἀλλ’ ἐνδοιάζοντος καὶ τὸ ἴσως προστιθέντος καὶ τάχα ἐλεγχοειδές. Ἔτι καθάπερ ἐν τοῖς ῥητορικοῖς ἑκατέρως τοῖς λόγοις ἐπιχειροῦμεν καὶ τὰ αὐτὰ κατασκευάζομεν καὶ ἀνασκευάζομεν, καὶ ἐν τοῖς ἐλεγκτικοῖς ὁμοίως τὰ ἐναντιώματα θεωρητέον ἢ πρὸς τὰ ὑφ’ αὐτοῦ λεγόμενα ἢ πρὸς οὓς ὁμολογεῖ καλῶς λέγειν ἢ πράττειν, ἔτι πειρᾶσθαι δεικνύναι τὸν προσδιαλεγόμενον ἐναντία τιθέμενον πρὸς τοὺς δοκοῦντας τοιούτους καὶ περὶ ἕκαστα ἀγαθοὺς ἢ πρὸς τοὺς ὁμοίους ἢ πρὸς τοὺς πλείστους ἢ πρὸς πάντας· οἷον εἰ ἰατρός, ὡς τοῖς ἀρίστοις τῶν ἰατρῶν ἀντιλέγει ἢ τοῖς φρονίμοις, ἢ ὧν δοκεῖ πᾶσιν ἢ τοῖς πλείστοις. ἔτι ὥσπερ ἐν τοῖς καθ’ ὁμωνυμίαν οἱ ἀποκρινόμενοι ποιοῦσι πολλάκις ἐλεγχόμενοι (διαιροῦσι γὰρ ὕστερον συναισθόμενοι τῆς ἀπάτης τὸ διττόν, καὶ ὡς ἐπ’ ἄλλου σημαινομένου δεδώκασιν ἢ ὃ συνῆξεν ὁ ἐρωτῶν), οὕτω καὶ τοὺς ἐρωτῶντας χρηστέον ποτὲ τούτῳ πρὸς τοὺς ἐνισταμένους τῶν ἐρωτωμένων ὡς οὐκ ἐλεγχομένους, ἂν ὡδὶ μὲν συμβαίνῃ ὡδὶ δὲ μή, ὅτι οὕτως εἴληφε καὶ προέτεινεν ὃ συνήγαγεν, οἷον ὁ Κλεοφῶν ποιεῖ ἐν τῷ Μανδροβούλῳ τῷ Πλατωνικῷ διαλόγῳ. ἐπεὶ δὲ προϊόντος τοῦ λόγου πολλάκις οἱ ἐρωτώμενοι ἐρωτῶντες γίνονται, εἰ συναίσθοιντο πρότασιν ἀναγκαίαν ληφθῆναι καὶ πρὸς κατασκευὴν τοῦ προβλήματος, καὶ ἐπιχειροῦσιν ἀνασκευάσαι, δεῖ τοὺς ἐρωτῶντας ἀφισταμένους τοῦ λόγου τὰ λοιπὰ τῶν ἐπιχειρημάτων ἐπιτέμνειν· εἰ δ’ αἴσθοιντο δι’ ὃ γίνεται, προενίστασθαι καὶ προαγορεύειν, ὡς οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸν καιρὸν καὶ τῷ μὴ τρίβεσθαι εἰς οὐδέν.

82 ἐπιχειρητέον δὲ ἐνίοτε καὶ πρὸς ἕτερα τοῦ κειμένου, ἐκεῖνο ἐκβαλόντας, ἐὰν μὴ ἔχωμεν πρὸς αὐτὸ ἐπιχειρεῖν. ὅπερ ὁ Λυκόφρων ὁ σοφιστὴς πεποίηκε προβληθέντος αὐτῷ λύραν ἐγκωμιάζειν· ἐπεὶ μὴ εἶχεν, ὃ πρὸς τὴν ὀργανικὴν εἴπῃ, ἀνέδραμε πρὸς τὴν ἐν οὐρανῷ καὶ τὴν λυρικὴν μετελάβετο ποίησιν, ἐν ᾧ πολλοὺς ἐπαίνων λόγους ἐφεύρηκεν. καὶ ὁ Ἰσοκράτης ἐπαινῶν τὴν Ἑλένην ἐπὶ τοὺς ἐραστὰς αὐτῆς ἔκλινε καὶ δι’ ἐκείνων ἐθαύμασεν· οὐ γὰρ εἶχεν ἐκ τῶν κατ’ αὐτήν. καὶ ὁ Πρωταγόρας ἐν τῷ ὁμωνύμῳ διαλόγῳ ποτὲ μὲν μύθους διέξεισι ποτὲ δὲ περὶ ποιημάτων, ἐν οἷς εὐπορεῖν ἐπιχειρημάτων ἠδύνατο. καὶ ἐπ’ ἐκείνου· σπεύδοντες γὰρ πρὸς ἀνασκευὴν τοῦ τὸν φιλόσοφον πολυπράγμονα εἶναι ἀντὶ τούτου τὸ φιλοπράγμονα εἶναι μεταλαμβάνομεν, ἐπεὶ μὴ ἐκεῖθεν εὐπορεῖν ἦν, καὶ οὕτω συντίθεμεν ‘ὁ φιλόσοφος

πολυπράγμων, οὗτος δὲ φιλοπράγμων, ὁ δὲ φιλίως καὶ σχετικῶς πρός τε τὴν ὕλην καὶ τὰ πράγματα διακείσεται· ὁ φιλόσοφος ἄρα πρὸς τὰ τῇδε συνίσχεται.

83 ἀλλὰ μὴν τοῦτο ψεῦδος· ψεῦδος ἄρα καὶ τὸ πολυπράγμονα εἶναι, ἤγουν ζητητικὸν καὶ τῶν ὄντων ἐρευνητήν.‘ ἐπεὶ δὲ πολλάκις οἱ ἀποκρινόμενοι μήτε παντελῶς ἀπαρνούμενοι τὰ προτεινόμενα μήτε διδόντες ἀπαιτοῦσι τὸν ἐρωτῶντα ἀποδεῖξαι ἣν ἠρώτησε πρότασιν, καὶ δοκεῖ καὶ τοῖς ἀκροαταῖς δεῖν ἀποδιδόναι τὴν αἰτίαν, δεῖ μὴ ἐπὶ τὸ καθόλου τὸν ἔλεγχον ἄγειν, ἀλλὰ περὶ τὰ καθ’ ἕκαστα διατρίβειν· τὸ γὰρ καθόλου ἀεὶ ἔνστασιν ἔχει. ὅθεν ἐπὶ τῶν μερικῶν δεῖ συνάξαι τὴν ἀντίφασιν, οἷον εἰ ὑγιεινοῦ καὶ νοσώδους τὴν αὐτὴν εἶναι ἐπιστήμην ἀπαιτούμεθα λόγον, μὴ ὅτι καὶ πάντων τῶν ἐναντίων (ἐνσταίη γὰρ ὡς τοῦ γνωστοῦ καὶ ἀγνώστου οὐχ ἡ αὐτή, οὐδὲ πεπερασμένου καὶ ἀπείρου ἢ ὄντος καὶ μὴ ὄντος), ἀλλ’ ὅτι εἰ μὴ τοῦτο, οὐδὲ ἀρτίου καὶ περιττοῦ μία, οὐδὲ ἡρμοσμένου καὶ ἀναρμόστου. ἀλλὰ μὴν μία ἥ τε ἀριθμητικὴ καὶ ἡ μουσική· καὶ τοῦ ὑγιεινοῦ καὶ νοσώδους ἄρα μία ἡ ἰατρική. ὃ δὲ ἀνωτέρω ἐρρέθη, καὶ νῦν λέγομεν, ὡς οὐ δεῖ τὸ συμπέρασμα προτακτικῶς ἐρωτᾶν ἀλλ’ ἀποφαντικῶς, ἐνίας δὲ τῶν προτάσεων καὶ διαφερόντως τὰς μείζους οὐδὲ ἐρωτητέον, ἀλλ’ ὡς ὁμολογουμέναις χρηστέον. Ἐξ ὧν μὲν οὖν αἱ ἐρωτήσεις καὶ πῶς ἐρωτητέον ἐν ταῖς ἀγωνιστικαῖς διατριβαῖς καὶ σοφιστικαῖς, εἴρηται· περὶ δὲ ἀποκρίσεως καὶ πῶς χρὴ λύειν καὶ τί, καὶ πρὸς τίνα χρῆσιν οἱ τοιοῦτοι τῶν λόγων ὠφέλιμοι, μετὰ ταῦτα λεκτέον.

84 Χρήσιμοι οὖν εἰσι πρὸς φιλοσοφίαν διὰ δύο. πρῶτον μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ γινομένους περὶ τὴν λέξιν ἐντριβεῖς ἄμεινον ἔχειν ποιοῦσι πρὸς τὸ ποσαχῶς ἕκαστον λέγεται, καὶ ποῖα ὁμοίως καὶ ποῖα ἑτέρως ἐπί τε τῶν ὀνομάτων καὶ τῶν πραγμάτων συμβαίνει. δεύτερον δὲ πρὸς τὰς καθ’ ἑαυτὸν ζητήσεις, ὡς κἀν τοῖς προοιμίοις εἴρηται· ὁ γὰρ ὑφ’ ἑτέρου παραλογιζόμενος ῥᾳδίως καὶ τοῦτο μὴ διαισθανόμενος κἂν αὐτὸς ὑφ’ αὑτοῦ τοῦτο πάθοι πολλάκις. τρίτον δὲ καὶ τὸ λοιπὸν ἔτι πρὸς δόξαν, τὸ περὶ πάντα γεγυμνάσθαι δοκεῖν καὶ μηδενὸς ἀπείρως ἔχειν. τὸ γὰρ κοινωνοῦντα λόγων ψέγειν λόγους μηδὲν ἔχοντα διορίζειν περὶ τῆς φαυλότητος αὐτῶν ὑποψίαν δίδωσι τοῦ δοκεῖν δυσχεραίνειν οὐ διὰ τὸ ἀληθὲς ἀλλὰ διὰ τὴν ἀπειρίαν. Ἀποκρινόμενον δὲ πῶς ἀπαντητέον πρὸς τοὺς τοιούτους λόγους, φανερόν, εἴπερ ὀρθῶς εἰρήκαμεν πρότερον, ἐξ ὧν εἰσιν οἱ παραλογισμοί, καὶ τὰς ἐν τῷ πυνθάνεσθαι πλεονεξίας ἱκανῶς διείλομεν. οὐ ταὐτὸ δέ ἐστι λαβόντα τὸν λόγον κατὰ σχολὴν ἰδίᾳ καὶ καθ’ αὑτὸν ἰδεῖν καὶ λῦσαι τὴν μοχθηρίαν, καὶ ἐρωτώμενον αἴφνης ἀπαντᾶν δύνασθαι ταχέως.

85 ὃ γὰρ ἴσμεν, πολ λάκις μετατιθέμενον ἀγνοοῦμεν. ἔτι δ’ ὥσπερ ἐν τοῖς ἄλλοις τὸ θᾶττον καὶ τὸ βραδύτερον ἐκ τοῦ γεγυμνάσθαι γίνεται μᾶλλον, οὕτω καὶ ἐπὶ τῶν λόγων ἔχει, ὥστε, ἂν δῆλον μὲν ἡμῖν ᾖ, ἀμελέτητοι δ’ ὦμεν, ὑστεροῦμεν τῶν καιρῶν πολλάκις. ἔτι συμβαίνει ποτέ, καθάπερ ἐν τοῖς διαγράμμασι, καὶ ἐν τοῖς λόγοις. καὶ γὰρ ἐκεῖ ἀναλύσαντες καὶ τὰς προτάσεις εὑρόντες τὰς τοῦ θεωρήματος δεικτικὰς συνθεῖναι πάλιν καὶ εἰς σχῆμα ἀγαγεῖν ἀδυνατοῦμεν· οὐ γὰρ ἔχομεν εὐπετῶς ἰδεῖν ποία μείζων ἢ ἐλάττων διὰ τὴν ἀπειρίαν. καὶ ἐπὶ τῶν λόγων δὲ πλείονας ἁμαρτίας ἔστιν ὅτε τοῦ σοφίσματος ἔχοντος ἀποροῦμεν ἰδεῖν, ὅθεν ὁ ἔλεγχος. διὰ τοῦτο αἵ τε πρὸς ἄλλους συνεχεῖς διαλέξεις καὶ γυμνασίαι καὶ αἱ καθ’ αὑτοὺς συζητήσεις ἰδίᾳ περὶ τῶν εἰς ἑκάτερα λόγων τοῦ τοιοῦδε προβλήματος μεγάλην ἐν τοῖς τοιούτοις παρέχουσι τὴν ῥοπήν· αὔξουσι γὰρ τὴν ῥώμην καὶ τὴν ἐν ἡμῖν λογικὴν ἕξιν τρέφουσι, κἀν τοῖς ἀγῶσι δὲ τοῦ κράτους πρόξενοι. Πρῶτον οὖν, ὥσπερ συλλογίζεσθαί φαμεν ἐνδόξως ποτὲ μᾶλλον ἢ ἀληθῶς προαιρεῖσθαι δεῖν (ὅταν γὰρ μὴ ταῖς ἀληθέσι τῶν προτάσεων τὸν προσδιαλεγόμενον ἑπόμενον ἔχωμεν, καὶ ἐκ τῶν οἰκείων δοξῶν χειρώσασθαι ἐπειγόμεθα), οὕτω καὶ λυτέον ποτὲ μᾶλλον ἐνδόξως ἢ κατὰ τὸ ἀληθές, καὶ πρὸς τὸν ἀκροατὴν ἢ κατὰ τὸ πρᾶγμα. ὅλως γὰρ πρὸς τοὺς ἐριστικοὺς μαχητέον οὐχ ὡς ἐλέγχοντας ἀλλ’ ὡς φαινομένους· οὐ γάρ φαμεν συλλογίζεσθαί γε ἢ ἐλέγχειν αὐτούς· ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν διορθωτέον.

86 εἰ γάρ ἐστιν ὁ κυρίως ἔλεγχος ἀντίφασις μὴ ὁμώνυμος ἔκ τινων προτάσεων ἀληθῶν συναγόμενος, ὁ μὴ τοιοῦτος κενὸς ἂν εἴη δήπου, καὶ παροπτέος ὡς μὴ ἔχων ὑπόστασιν. ὁ δὲ σοφιστικὸς τοιοῦτος· οὐκ ἔδει γοῦν πράγματ' ἔχειν ἡμᾶς διαιροῦντας αὐτοῦ τὰ ἀμφίβολα καὶ ὁμώνυμα, καθάπαξ ἀποβαλόντας, ὡς καὶ μὴ ὄντα συλλογισμόν. ἐπεὶ δὲ οὐ τὴν ἡμετέραν κρίσιν περὶ τοῦ πράγματος ἐν τοῖς τοιούτοις ἐκφάναι ἐπισκοποῦμεν, ἀλλ' ἣν ἕτεροι περὶ ἡμᾶς εὐλαβούμεθα, διὰ τοῦτο καὶ διαιρετέον καὶ διαλυτέον οὐδενὸς ἄλλου χάριν ἢ ὅτι τὸ συμπέρασμα φαίνεται ἐλεγχοειδὲς κἂν τοῖς ἀπειροτέροις ἐληλέγχθαι δόξαιμεν. οὔκουν τοῦ ἐλεγχθῆναι ἐν τοῖς τοιούτοις φροντιστέον ἀλλὰ τοῦ δοκεῖν, ἐπεὶ τό γε ἐρωτᾶν ἀμφίβολα καὶ τὰ παρὰ τὴν ὁμωνυμίαν, ὅσαι τε ἄλλαι παρακρούσεις, καὶ τὸν ἀληθινὸν ἔλεγχον ἀφανίζει καὶ τὸν ἐλεγχόμενον ἄδηλον ποιεῖ. εἰ μὲν οὖν ὁ ἐρωτῶν πρῶτον διελὼν τὸ ὁμώνυμον ἢ τὸ ἀμφίβολον, εἶθ' οὕτω προήνεγκε τὴν ἐρώτησιν, οὐκ ἂν ἄδηλος ἦν ὁ ἔλεγχος, εἴτε ὢν εἴτε δοκῶν· νυνὶ δὲ ὡς ἓν τὰ πολλὰ προτείνας καὶ ὃ μὴ ἔλαβε συμπεραίνων ἄδηλον τίθησιν, οὐδ' ἂν ἐπὶ τοῦ δοθέντος συνάγει τὴν ἀντίφασιν, ὁμώνυμον δὲ ᾖ, ἀληθὴς ἔλεγχος οὗ τος ἔσται· φθείρεται γὰρ κἀν τούτῳ ἡ τάξις τοῦ διαλέγεσθαι. [15]

87 ἀλλ' ἐπεὶ ἔξεστιν ἐπὶ τέλει τῷ ἀποκρινομένῳ συμπεραινομένου τοῦ σοφιστοῦ λέγειν καταφῆσαι μὴ ὅπερ ἀποφάσκειν ἄρτι τὸν σοφιστήν, ἔνστασις αὐτόθεν ἔσται καὶ λύσις τοῦ παρακρούσματος. ἔτι εἰ διῄρει ἐρωτῶν ὁ σοφιστὴς τὰ ὁμώνυμα, ἐγίνετ' ἂν ἕτερόν τι, ὃ ἐπιζητοῦσιν οἱ διαλεγόμενοι νῦν μὲν ἧττον, πρότερον δὲ μᾶλλον, τὸ δὲ ἦν τὸ μοναχῶς ἀποκρίνεσθαι τὸ ναὶ ἢ τὸ οὔ, ἀλλὰ μὴ ἄμφω, ἢ καὶ ἐνδοιάζειν λέγοντας τάχα, ἴσως, δοκεῖ. νῦν δὲ διὰ τὸ μὴ καλῶς ἐρωτᾶν τοὺς πυνθανομένους μηδὲ διαστέλλειν τὰ σημαινόμενα ἀνάγκη προσαποκρίνεσθαί τι τὸν ἐρωτώμενον καὶ μὴ μέρος ἀλλ' ὅλην τὴν ἀντίφασιν ἀποδιδόναι μετ' ἐνδοιασμοῦ 'ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ', διορθοῦντα τὴν μοχθηρίαν τῆς πτώσεως· ἐπεὶ διελομένου γε ἱκανῶς τίς φθόνος μὴ τὸ ναὶ ἢ τὸ οὒ λέγειν τὸν ἀποκρινόμενον. Καὶ ἡμεῖς μὲν οὕτω περὶ τούτων διαγινώσκομεν τὸ μηδένα τῷ ὄντι ἔλεγχον εἶναι σοφιστικὸν ἢ τῷ δόξαι· εἰ δέ τις ἑτέρως ἔχει καὶ ὑπολαμβάνει τὸν καθ' ὁμωνυμίαν ἢ καθ' ἑτέραν τινὰ σοφιστικὴν συζυγίαν ἔλεγχον εἶναι, οὐκ ἔσται διαφυγεῖν τὸ ἐλέγχεσθαι τὸν ἀποκρινόμενον, κἂν ὁποῖος γένοιτο· οὐ γὰρ ἐπιλείψει τοῖς σοφισταῖς τόπος εἰς ἀπάτην, κἂν διὰ πάντων ἀποκρουσθῶσι, συκοφαντήσουσιν. αὐτίκα γὰρ ἐπὶ τῶνδε τῶν ὁρατῶν καὶ κατ' ἐνέργειαν αἰσθητῶν ὀλίγον παραλ λάξασι τοῖς σοφισταῖς ἐλέγξαι δυνατὸν καὶ προσαναγκάζειν ὃ ἀπέφησεν ὄνομα καταφῆσαι. [15]

88 ἐπεὶ γὰρ τὸ ἅπαν αἰσθητόν, εἴτε πόρρω τῆς αἰσθήσεως γένοιτο εἴτε ὂν ἐγγὺς κρύπτοιτο, τὴν αἰσθητικὴν ὑποφεύγει κατάληψιν, τόνδε τὸν Κορίσκον, ὃν μουσικὸν γινώσκομεν, περικεκαλυμμένον λαμβάνοντες καὶ εἰς τὸ μέσον παράγοντες ἐρωτῶσι περὶ αὐτοῦ 'ἆρ' οἶδας τοῦτον; καὶ πότερον μουσικός ἐστιν ἢ ἄμουσος;' ἀποφησάντων δέ (οὐ γὰρ οἴδαμεν τὸν κρυπτόμενον) ἀποκαλύψαντες προσεπερωτῶσιν, εἰ ὅστις εἰπεῖν ἔχοιμεν. γνωρίσασι δὲ Κορίσκον τὸν μουσικὸν ἐπεγκαλοῦσιν ὡς ὃ ἀπεφήσαμεν καταφάσκομεν, καὶ τὸν αὐτὸν εἰδέναι καὶ ἀγνοεῖν ὁμολογοῦμεν. οὐκ ἔστι δέ, ἀλλὰ παρὰ τὸ συμβεβηκὸς τὸ σόφισμα· οὐ γάρ, εἰ τὸν κεκαλυμμένον ἀγνοῶ, συμβέβηκε δὲ τὸ κεκαλύφθαι τῷ Κορίσκῳ, ἤδη καὶ Κορίσκον ἀγνοῶ, ὥσπερ οὐδ' ἂν τὸ δισύλλαβον ὑπάρχει τῷ λευκῷ, τὸ δὲ τῷ Ἀλκιβιάδῃ συμβέβηκεν, ἀνάγκη εἶναι καὶ τὸν Ἀλκιβιάδην δισύλλαβον. ὡς γὰρ διορθοῦνταί τινες δῆθεν τὸ σόφισμα λύοντες, οὐδὲν ὄφελος· οὐ γὰρ Κορίσκον φασὶν εἶναι μουσικὸν καὶ ἄμουσον οὐδὲ ἐπ' αὐτοῦ καὶ ἑνὸς συμπίπτειν τὴν ἀντίφασιν, ἀλλ' ἐφ' ἑτέρου καὶ ἑτέρου, καὶ δύο προτάσεις τὴν μίαν τίθενται, καὶ ὡς ἕτερον τὸν μουσικὸν Κορίσκον τοῦ κεκαλυμμένου καὶ ἀμούσου σκοποῦσιν. οὐχ οὕτω δὲ ἔχει· οὐ γὰρ τῷ ὑποκειμένῳ ἀλλὰ τῷ λόγῳ ταῦτα διάφορα, ὥσπερ ὁ ἁπλῶς Σωκράτης καὶ λευκὸς Σωκράτης. [15]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

89 εἰ δὲ τῷ μέν, ἤγουν ταῖς προτάσεσι, τὸ ἁπλῶς λέγειν Κορίσκον ἀποδώσει τις, οἷον ‘ἆρ’ ὁ Κορίσκος μουσικός ἐστι;‘ τῷ δέ, εἴτ’ οὖν ἐν τῷ συμπεράσματι, προσθήσει τὸν τινὰ ἢ τόνδε, τόνδε λέγων τὸν Κορίσκον τὸν κεκαλυμμένον μὴ μουσικὸν εἶναι, ἄτοπον καὶ παρὰ τὴν συλλογιστικὴν μέθοδον. δεῖ γὰρ ἢ ἐν ἀμφοτέροις ἢ ἐν μηδενί, ταῖς τε προτάσεσι λέγω καὶ συμπεράσματι, τήν τε πρόσθεσιν καὶ τὴν ὑφαίρεσιν γίνεσθαι. οὐδὲν δὲ διαφέρει, εἴτε ὁμώνυμον ἐλήφθη παράδειγμα πρὸς τὴν τοῦ προτεθέντος ἀπόδειξιν τοῦ ὡς πανταχόθεν εὔπορον τοῖς κακουργεῖν ἐθέλουσιν, ἢ ᾧ κεχρήμεθα παρὰ τὸ συμβεβηκός· κἀν τούτοις γὰρ πλείω ἐδείχθη τὰ σημαινόμενα. Ἐπεὶ δὲ ἄδηλος μέν ἐστιν ὁ ἐρωτώμενος ὁμώνυμόν τι ἢ ἀμφίβολον καὶ μὴ διορισάμενος, πότερον ἐλήλεγκται ἢ οὐκ ἐλήλεγκται, δέδοται δὲ ἐν τοῖς λόγοις τὸ διελεῖν, φανερὸν ὅτι τὸ μὴ διελόντα δοῦναι τὴν ἐρώτησιν ἀλλ’ ἁπλῶς ἁμάρτημά ἐστι· ὥστε κἂν μὴ αὐτὸς ὁ ἐρωτώμενος ἐλήλεγκται κατὰ νοῦν, ἀλλ’ ὅ γε λόγος αὐτῷ ἐληλεγμένῳ ἔοικε, καὶ μᾶλλον ἀγνοεῖν δόξει τοῖς ἀκροαταῖς διὰ τὸ μὴ διαιρῆσαι πρότερον. ὥστε λύσις ἡ κυριωτάτη καὶ κοινοτάτη ἐπὶ τῶν ὁμωνύμων καὶ ἀμφιβόλων ἡ τῶν σημαινομένων παρὰ τοῦ ἀποκρινομένου ἔκθεσις καὶ διαίρεσις. συμβαίνει μέντοι πολλάκις ὁρῶντας τὴν ἀμφιβολίαν ὀκνεῖν διαιρεῖσθαι διὰ τὴν πυκνότητα τῶν τοιαῦτα προτεινομένων, ὅπως μὴ πρὸς ἅπαν δοκῶσι δυσκολαίνειν· εἶτα οὐκ ἂν οἰηθέντων παρὰ τοῦτο γενέσθαι τινὰ κατὰ τὸν λόγον ἀπάτην, πολλάκις ἀπήντησε παράδοξον. [15]

90 ὥστε ἐπεὶ δέδοται διαιρεῖν, οὐκ ὀκνητέον, καθάπερ ἐλέχθη πρότερον. Εἰ δὲ τὰ δύο ἐρωτήματα καὶ τρία καὶ πολλὰ μὴ ἓν ἐποίει τις ἐρώτημα ἑνὶ συγκλείων ὀνόματι, οὐδ’ ἂν ὁ παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν ἐγίνετο παραλογισμός, ἀλλ’ ἢ ἔλεγχος ἀληθὴς ἢ οὐδέν. τί γὰρ διαφέρει ἐρωτῆσαι, εἰ Καλλίας καὶ Θεμιστοκλῆς μουσικοί εἰσιν, ἢ εἰ ἀμφοτέροις ἓν ὄνομα ἦν ἑτέροις οὖσιν, ὅπερ πάσχουσι τὰ ὁμώνυμα; εἰ γὰρ πλείω δηλοῖ τοῦ ἑνὸς πράγματα τὸ ἓν ὄνομα, πλείω καὶ ἠρώτησεν. εἰ οὖν μὴ ὀρθὸν πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν ἀξιοῦν λαμβάνειν ἁπλῶς, φανερὸν ὅτι οὐδενὶ προσήκει τῶν ὁμωνύμων ἀποκρίνεσθαι ἁπλῶς, οὐδ’ εἰ κατὰ πάντων ἀληθὲς τὸ προτεινόμενον, εἰς ὃ καὶ ἀξιοῦσί τινες δεῖν τῶν τῆς ἀντιφάσεως τὸ ἓν ἀποκρίνεσθαι. ἡ γὰρ διαλεκτικὴ ἐρώτησις ἀποκρίσεώς ἐστιν αἴτησις ὡς μία πρὸς μίαν, ὥστε οὐκ αὐτόθεν καταφήσαιμεν ἢ ἀποφήσαιμεν πρὸς τὸν ἐρωτῶντα, εἰ Αἴας καὶ Ἀγαμέμνων καὶ Διομήδης ἐπὶ Τροίαν ἐστράτευσαν· οὔτε γὰρ ἓν τὸ ἐρώτημα, κἂν ἀληθὲς δέ, οὐ δοτέον διὰ τὸν συνεθισμόν. ὁμοίως δὲ καὶ εἴ τις ἤρετο, ὁ Κορίσκος καὶ ὁ Καλλίας πότερον οἴκοι εἰσὶν ἢ οὐκ οἴκοι, εἴτε παρόντων ἀμφοῖν εἴτε μὴ παρόντων· ἀμφοτέρως γὰρ πλείους αἱ προτάσεις· οὐ γὰρ εἰ ἀληθὲς εἰπεῖν, διὰ τοῦτο μία ἐρώτησις. [15]

91 ἐγχωρεῖ γὰρ καὶ μυρία ἕτερα ἐρωτηθέντα ἐρωτήματα ἅπαντα ἢ ναὶ ἢ οὒ ἀληθὲς εἶναι λέγειν, ἀλλ’ ὅμως οὐκ ἀποκριτέον μιᾷ ἀποκρίσει· ἀναιρεῖται γὰρ τὸ διαλέγεσθαι. τούτοις γοῦν ὅμοιον ὡς εἰ καὶ τεθείη τὸ αὐτὸ ὄνομα τοῖς ἑτέροις. εἰ γοῦν τὸ πολλάκις ῥηθὲν εὖ ἔχει καὶ μὴ δεῖ πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν διδόναι, φανερὸν ὡς οὐδὲ ἐπὶ τῶν ὁμωνύμων τὸ ναὶ ἢ τὸ οὒ λεκτέον· οὐδὲ γὰρ ὁ εἰπὼν ἀποκέκριται ἀλλὰ μάτην ἄλλως εἴρηκεν. ὅμως μέντοι νομίζονται ἐν τοῖς διαλεγομένοις καὶ τοῖς ἀπειροτέροις τῶν ἀκροατῶν τὸ ναὶ ἢ τὸ οὒ ὄντως δεδωκέναι διὰ τὸ λανθάνειν τὸ συμβαῖνον ἐν τοῖς ὁμωνύμοις. Ὡς γοῦν οὐκ ὄντες ἔλεγχοί τινες δοκοῦσιν εἶναι (τὸ γὰρ ἅπαν ἐνταῦθα συνάγομεν κατὰ τὸν αὐτὸν τρόπον), καὶ λύσεις δόξουσιν εἶναί τινες οὐκ οὖσαι λύσεις, ἃς δή φαμεν ἐνίοτε δεῖν φέρειν ἢ τὰς ἀληθεῖς ἐν τοῖς ἀγωνιστικοῖς λόγοις καὶ ἐριστικοῖς καὶ τῇ πρὸς τὸ διττὸν ἀπαντήσει. ἀποκριτέον δὲ ἐπὶ μὲν τῶν δοκούντων τὸ ἔστω λέγοντα, καὶ δὴ οὕτως ἥκιστ’ ἂν γένοιτο παρεξέλεγχος. ἐὰν δέ τι παράδοξον ἀναγκάζηται λέγειν, ἐνταῦθα μάλιστα προσθετέον τὸ δοκεῖν· οὕτω γὰρ οὔτ’ ἔλεγχος οὔτε παράδοξον γίνεσθαι δόξειεν. [15]

92

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεὶ δὲ δῆλον ὅπως αἰτεῖται τὸ ἐν ἀρ χῇ (ᾗ γὰρ αὐτῷ πρὸς τὴν οἰκείαν ἀπόδειξιν χρώμεθα τοῦ ζητουμένου, εἴπερ τι εἴη συνώνυμον ὁποτέρῳ τῶν ὅρων, ἤ τινι τῶν αὐτοῦ καὶ ὅλως σύνεγγυς), οὐ δεῖ πρὸς τὸν ἐρωτῶντα πρότερον ἀποκρίνεσθαι, πρὶν ἀναιρῆσαι τὸ ἐν ἀρχῇ προτεινόμενον. ὅταν δὲ τοιοῦτον ἀξιοῖ τις συμπεραινόμενος ὃ ἀναγκαῖον μὲν συμβαίνειν ὡς ἐκ τῶν κειμένων προτάσεων συναγόμενον, ᾖ δὲ ψεῦδος ἄλλως καὶ ἄδοξον, ῥητέον ὡς πολὺ πρότερον ψευδῆ καὶ ἄδοξα τὰ ἐξ ὧν. τὰ δὲ ἐξ ἀνάγκης συμβαίνοντα τῆς αὐτῆς εἶναι δοκεῖ θέσεως, καὶ τὰ συμπεράσματα ἀκολουθεῖ ταῖς προτάσεσιν. ἔτι ὅταν τὸ καθόλου μὴ ὀνόματι ἀλλὰ παραβολῇ ληφθῇ, λεκτέον ὅτι οὐχ ὡς ἐδόθη οὐδ’ ὡς προὔτεινε λαμβάνει· καὶ γὰρ παρὰ τοῦτο γίνεται πολλάκις ἔλεγχος. ἓν δὲ τῶν πρὸς κρύψιν παρεισαγομένων καὶ ἡ παραβολὴ ἐν τοῖς Τοπικοῖς εἴρηται· λαβεῖν γὰρ ἐθέλοντες ὡς ἡ ἐγκράτεια ἀρετή, οὐκ αὐτόθεν τοῦτο προτείνομεν, ἀλλὰ πλαγίως οὕτω καὶ παραβολικῶς ἐρωτῶμεν, καὶ οὐ δι’ αὐτὸ ἀλλ’ ἄλλου χάριν ‘ἆρ’ ὥσπερ ἡ ἐγκράτεια ἀρετή, οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρεία καὶ ἡ φρόνησις;‘ ναί. εἴληπται γὰρ ἐν τούτοις λεληθότως τὸ τὴν ἐγκράτειαν ἀρετὴν εἶναι. παραβολὴ δ’ ἂν κἀκεῖνο καλοῖτο, ὅταν λόγῳ τὸ κοινὸν τῇ τῶν κατὰ μέρος ἐπαγωγῇ ἀλλ’ οὐκ ὀνόματι ἀφορίζηται, ὡς δή, ἐπεὶ αἲξ καὶ ἔλαφος καὶ βοῦς καὶ πρόβατον τετράποδα ὄντα διχηλεῖ, καὶ πᾶν ἄρα, ὃ ἂν ᾖ τοιοῦτον, δύο χηλὰς ἕξει.

93 ψεῦδος δέ· ἵππος γὰρ καὶ ὄνος τῶν τετραπόδων καὶ μώνυχα. Ἐξειργομένῳ δέ σοι παρὰ τοῦ ἐρωτῶντος ἁπάντων καὶ ἀποκλειομένῳ τῷ πανταχόθεν ἠσφαλίσθαι καὶ πεφράχθαι ἐκεῖνον προορώμενον τὰς εἰσόδους ὡς ἔμπειρον πολλῶν ὄντα λόγων καὶ διαλέξεων πορευτέον ἐπ’ ἐκεῖνο ὃ καταλέλειπται, καὶ ὅτι μὴ καλῶς δέδειχεν ἰσχυριῇ ἁπαντῶν κατὰ τὸν προειρημένον περὶ τῶν ὁμωνύμων διορισμόν. Ἐν μὲν οὖν τοῖς κυρίως λεγομένοις ῥήμασιν, οἷον κύων, ἵππος, ἄνθρωπος (οὐδὲν γὰρ τούτων τοῖς ὑποκειμένοις αὐτῶν οἰκειότερον) ἀνάγκη ἀποκρίνεσθαι τὸ ναὶ ἢ τὸ οὔ, ἢ ἁπλῶς καὶ ἀδιαιρέτως ἢ μετὰ διαιρέσεως, εἴπερ εἴη ὁμώνυμον. ἃ δὲ μὴ αὐτοτελῶς προάγομεν ἀλλὰ συνεπινοοῦντες τίθεμεν καὶ ἀπὸ κοινοῦ λαμβάνομεν, οἷον ὅσα μὴ σαφῶς ἀλλὰ κολοβῶς ἐρωτᾶται, ἐν τούτοις παρὰ τοῦτο συμβαίνει ὁ ἔλεγχος δηλαδὴ τὴν ἔλλειψιν, οἷον ‘ἆρα ὃ ἂν ᾖ Ἀθηναίων κτῆμα Ἀθηναίων; καὶ ὃ Λακώνων κτῆμα Λακώνων;‘ ναί. ἀλλὰ μὴν ὁ ἄνθρωπός ἐστι τῶν ζώων. τί οὖν; κτῆμα ὁ ἄνθρωπος τῶν ζώων; τὸν γὰρ ἄνθρωπον τοῦ ζώου λέγομεν, οὐχ ὅτι κτῆμα, ἀλλ’ ὅτι εἶδος· καὶ Λύσανδρον τῶν Λακώνων, ὅτι Λάκων. εἰ δὲ ‘ὃ Ἀθηναίων κτῆμα, κτῆμα Ἀθηναίων ἐστίν‘ ἠρωτᾶτο, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὐδὲν ἂν συνέβαινεν ἄτοπον. Ὅταν δὲ ἐπὶ γένους καὶ εἴδους καὶ ἡγουμέ νου καὶ ἑπομένου αἵρεσις προτεθείη ὁπότερον ἀποκρίνεσθαι, τὸ μερικώτερον καὶ ἔλαττον δοῦναι μᾶλλον ἂν συμβουλεύσαιμι· χαλεπώτερον γὰρ ἐκ τῶν μερικῶν συλλογίσασθαι, ὅσῳ ῥᾷστον ἐκ τῶν καθόλου.

94 ὁ γὰρ τὰ κοινὰ λαβὼν καὶ τὰ μέρη ἔχει· δυοῖν γὰρ ὄντοιν θατέρου μὲν ὄντος ἐξ ἀνάγκης καὶ θάτερον εἶναι δοκεῖ, θατέρου δὲ τοῦτο μὴ ἐξ ἀνάγκης. ἀπαντητέον δὲ καὶ τοῦτο πρὸς τὸν ἐρωτῶντα, ὅταν αὖ ἐπὶ τῶν αὐτῶν ὁ λόγος εἴη· δόντος γὰρ τοῦ ἀποκρινομένου τὴν ψυχὴν εἶδος ὡς εἰπεῖν ἁρμονίας, ἐὰν ἐπιχειρῇ ἀνασκευάσαι ὅτι τῷ μέν ἐστιν ἐναντίον τῷ δ’ οὐκ ἔστι (τῇ γὰρ ἁρμονίᾳ ἡ ἀναρμοστία ἀντίκειται, τῇ δὲ ψυχῇ οὐδὲν οὐσίᾳ οὔσῃ), κἂν ὁ λόγος ἀληθὴς ᾖ, ὅμως ἐνστατέον εἶναι κἂν τῇ ψυχῇ ἐναντίον, μὴ ὠνομάσθαι δέ. Ἐπεὶ δ’ ἔνια μὲν ὧν λέγουσιν οἱ πολλοὶ τὸν μὴ συγχωροῦντα ψεύδεσθαι ἂν φαῖεν (ταῦτα δὲ τὰ ἐναργῆ καὶ ἐγγύτερα πρὸς τὴν αἴσθησιν) ἔνια δ’ οὔ, οἷον ὅσα διὰ τὸ ἀδηλότερον ἀμφιδοξοῦσι (πότερον γὰρ φθαρτὴ ἢ ἀθάνατος ἡ ψυχὴ τῶν ζώων οὐ διώρισται τοῖς πολλοῖς), ἐν τούτοις οὖν εἰ συνορᾶν ἔχεις ὃ βούλεται ὁ ἐρωτῶν, αὐτὸς δὲ τὸ ἕτερον, ἐκεῖνόν τε ἐμποδίσεις βλάψας εἰς τὸ συμπέρασμα, καὶ ἔγκλημά σοι οὐδὲν ἐπὶ τῶν ἀμφιβόλων ὃ βούλει λαμβάνοντι. ἔτι ἐν τοῖς αὐτοῖς ἐπεὶ ἄδηλον ὁποτέρως εἴωθε λέγεσθαι τὸ προτεινόμενον, πότερον ὡς αἱ γνῶμαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(καλοῦσι γὰρ γνώμας καὶ τὰς ἀληθεῖς δόξας καὶ δοκούσας ἢ τοῖς πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς καὶ τὰς καθόλου ἀποφάσεις, ὡς ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ), κἂν μὴ τὸ ναὶ ἢ τὸ οὒ ἀφωρισμένως ἀποδοίη τις ἀλλ' ὡς περὶ ἀδήλου καὶ αὐτὸς σκέπτοιτο, οὐδεὶς ἐπείξει λόγος πρὸς τὴν ἀπόκρισιν.

95 ἔτι ἔνθα τὸ ἀληθὲς ἀμφιδοξεῖται, μεταφέρων ἄν τις ἐπὶ τὸ ἐναργέστερον καὶ ἐν ᾧ οὐδὲν ἧττον τὸ προκείμενον ἕψεται, λάθῃ περὶ τούτων τῇ ἀμείψει τῶν ὀνομάτων δράσας ὃ προὔθετο. διὰ μὲν γὰρ τὸ ἄδηλον εἶναι ὁποτέρως ἔχει τὸ ἀληθές, οὐ δόξει σοφίζεσθαι, διὰ δὲ τὸ ἀμφιδοξεῖν οὐ δόξει ψεύδεσθαι. ἡ γὰρ μεταφορὰ ποιήσει τὸν λόγον ἀνεξέλεγκτον, οἷον ἐπεὶ περὶ ψυχῆς τὸ αὐτοκίνητον ἀληθὲς μέν, ἀμφιδοξεῖται δέ, εἴ τις μεταλάβοι ἀντὶ τούτου τὸ ἀεικίνητον, τὸ εἰρημένον ἐποίησεν. ἐναργέστερον γὰρ καὶ μᾶλλον συγκεχώρηται, οὐδὲν δ' ἧττον ἐν τούτῳ καὶ τὸ αὐτοκίνητον καὶ ἀθάνατον συνεκφαίνεται. Ἔτι ὅσα ἄν τις ἀμφιδοξοῦντα προαισθάνοιτο τῶν ἐρωτημάτων προενστατέον καὶ προαγορευτέον, ὡς οὐχ οὕτως ἔχει ὡς αὐτὸς βούλει· οὕτω γὰρ ἂν τὸν πυνθανόμενον μάλιστα συμπερᾶναι κωλύσειε μόνον οὐ δεσμὸν τοῖς χείλεσιν ἐπιθέμενος. Ἤδη δὲ καὶ τὴν τῆς λύσεως μέθοδον τῶν σοφισμάτων παραδοῦναι προτεθυμήμεθα, καίτοι κἀν ταῖς ἀρχαῖς ἐκθέμενοι καὶ ἕκαστον παραδιδόν τες τῶν τρόπων τὴν αἰτίαν ὅθεν τὸ ψεῦδος ἐφερμηνεύομεν· τοῦτο δὲ αὐτόθεν καὶ λύσις ἦν.

96 κοινότερον γοῦν ἐνταῦθα καὶ πληρέστερον πάλιν τὰ περὶ αὐτῶν ἐπεξίωμεν. ἐπεὶ γὰρ πᾶς συλλογισμὸς σοφιστικὸς ἢ παρὰ τὴν ὕλην ἡμάρτηται καὶ ἔψευσται τὰς προτάσεις, ἢ παρὰ τὸ σχῆμα καὶ τὴν συλλογιστικὴν συζυγίαν, λύσεις μὲν τὸν πρότερον ὀρθῶς μίαν τῶν προτάσεων παρ' ἣν τὸ ψεῦδος ἀνῃρηκώς, καὶ μάλιστα τὴν μείζω (αὕτη γὰρ κἀν τοῖς ἀληθέσι τὸ κῦρος ἔχει), ἢ καὶ ἀμφοτέρας, εἰ καὶ ἄμφω ψευδεῖς· τὸν δὲ δεύτερον ἐμφανίσας ἐν τίνι τῶν παρατετηρημένων ἐλλέλοιπε καὶ κατὰ τί ἐξέκλινε τὴν παράδοσιν. ὥστε συμβαίνει τοὺς ψευδεῖς τῶν λόγων τοὺς μὲν συλλελογισμένους ἀνελόντα παρ' ὁποίαν ἐρώτησιν συμβαίνει τὸ ψεῦδος λύειν, τοὺς δὲ φαινομένους καὶ τὸ εἶδος ἡμαρτημένους διελόντα. πάλιν δὲ ἐπεὶ τῶν μὴ συλλελογισμένων λόγων οἱ μὲν ἀληθὲς οἱ δὲ ψευδὲς ἔχουσι τὸ συμπέρασμα, τοὺς μὲν κατὰ τὸ συμπέρασμα ψευδεῖς διχῶς ἐνδέχεται λύειν· καὶ γὰρ τῷ ἀνελεῖν τι τῶν ἠρωτημένων καὶ τῷ δεῖξαι τὸ συμπέρασμα ἔχον οὐχ οὕτως· τοὺς δὲ κατὰ τὰς προτάσεις τῷ ἀνελεῖν τι μόνον· τὸ γὰρ συμπέρασμα ἀληθές. οὐ γὰρ ἀεί, εἰ αἱ προτάσεις ψεύδονται, καὶ τὸ συμπέρασμα· ἔστι γὰρ καὶ ἐκ ψευδῶν ἀληθὲς συλλογίσασθαι· εἰ μέντοι τὸ συμπέρασμα, καὶ αἱ προ τάσεις πάντως.

97 ὥστε τοῖς βουλομένοις λύειν λόγον σοφιστικὸν πρῶτον μὲν σκεπτέον εἰ συλλελόγισται ἢ μή, εἶτα πότερον ἀληθὲς τὸ συμπέρασμα ἢ ψεῦδος, ὅπως διαιροῦντες ἢ ἀναιροῦντες λύωμεν τὰ ψευδῆ ἢ ὧδε ἢ ὧδε, καθάπερ ἐλέχθη πρότερον, διαιροῦντες μὲν εἰς τὰς προτάσεις καὶ ἀναλύοντες τὸν ἀσυλλόγιστον καὶ δεικνύντες ὡς ἐκ δύο μερικῶν ἢ ἀποφατικῶν συνιστάμενον, ἀναιροῦντες δὲ τὸν κατὰ τὴν ὕλην ἡμαρτημένον. διαφέρει δὲ πλεῖστον ἐρωτώμενόν τε καὶ μὴ λύειν τὸν λόγον. τὸ μὲν γὰρ προϊδεῖν εὐθὺς χαλεπόν, τὸ δὲ κατὰ σχολὴν ἰδεῖν ῥᾷον. Τεσσάρων δ' ὄντων τρόπων, ἐξ ὧν τὰ πολλαχῶς λεγόμενα συνίστασθαι εἴωθεν (ἢ γὰρ ὁ λόγος ἢ τοὔνομα δηλοῖ πλείονα, ἢ ὅταν οὕτως εἰωθότες ὦμεν λέγειν, ἔτι ὅταν συντεθὲν μὲν πλείω σημαίνῃ ἀπολελυμένον δ' οὔ, ὡς τὸ ἐπίσταται γράμματα, καὶ τέταρτον ὅταν τὸ ἀνάπαλιν, οἷον νεκρὸς ἄνθρωπος), οἱ μὲν παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν ἔλεγχοι σφάλλουσιν, ὅτι περ οἱ μὲν ἔχουσι τῶν ὀνομάτων τι πλείω σημαῖνον, πάντως δὲ δήπου διὰ τοῦτο καὶ τὸν λόγον, οἱ δὲ τὸν λόγον αὐτόθεν πολλαχῶς σημαίνοντα· τό τε γὰρ κύων πορεύεται ὁμώνυμον καὶ πολλὰ σημαίνει (δηλοῖ γὰρ καὶ τὸν νηχόμενον καὶ τὸν βαδίζοντα), τό τε σιγῶντα λέγειν ἰδίως ὁ λόγος ἅπας διττὸς καὶ ἀμφίβολος. ὅμοιον καὶ τὸ συμπέρασμα ἐκείνου τοῦ προβλήματος τὸ μὴ συνεπίστασθαι τὸν ἐπιστάμενον· οὐδὲν γὰρ ἐν τούτῳ τῶν ὀνομάτων πολύσημον, ἀλλ' ἓν τῶν ἠρωτημένων ἀμφίβολον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

98 ἠρωτᾶτο δὲ τὸ σόφισμα ἐπὶ παιδὸς ἢ ἰδιώτου οὕτως ʻἆρʼ ὁ ἐπιστάμενος λέγειν συνεπίσταται ἃ λέγει;ʻ ναί φησιν· ἀληθὲς γὰρ ἐπὶ τῶν ἐπιστημόνων. ʻἀλλὰ μὴν ὁ παῖς ὅδε ἀπαγγέλλων τὸ “μῆνιν ἄειδε” οὐκ ἐπίσταται. ὁ ἐπιστάμενος ἄρα ἃ συνεπίσταται ἀγνοεῖ.ʻ καὶ τὸ ἐν τούτῳ διττὸν καὶ ἀμφίβολον τὸ μέν ἐστιν ὂν καὶ ἀληθὲς τῷ σημαινομένῳ, ὅταν ἐπὶ τοῦ ἐπιστήμονος φέρηται, τὸ δὲ οὐκ ὂν οὐδὲ ἀληθές, ὅταν ἐπὶ τοῦ ἀνεπιστήμονος. ἐν ὅσοις δὲ τῶν παραλογισμῶν ἐν τῷ τέλει καὶ πρὸς τὸ συμπέρασμα τὸ διττόν, ἀνάγκη δεῖν προλαμβάνειν τὴν ἀντίφασιν ἐν τῇ τῶν προτάσεων μείζονι· οὐ γὰρ ἄλλως ἐγχωρεῖ ἐν ἑνὶ συλλογισμῷ συνάγεσθαι τὰ ἀντικείμενα, ὥσπερ εἴρηται, οἷον ἐν ἐκείνῳ ʻἆρʼ ἔστι τυφλὸν ὁρᾶν;ʻ οὔ. ʻτί δέ, ὅταν τυφλὸν ὁρᾷς, οὐ τυφλὸν ὁρᾷς;ʻ ναί. ʻἔστιν ἄρα τυφλὸν ὁρᾶν.ʻ ἀμφίβολον γὰρ τὸ ἔστι τυφλὸν ὁρᾶν. ἔστι γὰρ καὶ τὸ τυφλὸν ὁρᾶν καὶ μὴ ὁρᾶν. ἐν τούτοις γοῦν τοῖς ἀμφιβόλως προτεινομένοις οὐχ ἑτοίμως ἀποφαίνεσθαι χρὴ τὸ ναὶ ἢ τὸ οὔ, ἀλλʼ ἐπιλέγειν τὸ δοκεῖν καὶ ἐνδοιάζειν· ὅταν δὲ πρόδηλος εἴη ψευδὴς καὶ μονομερὴς ἡ ἐρωτηθεῖσα πρότασις, εὐθὺς ἀποφάσκειν, οἷον ʻἆρʼ ὁ Αἴας ἐμονομάχησε τῷ Θερσίτῃ;ʻ οὔ· οὐδέτερος γάρ. οὐ γὰρ πρὸς τοῦτο ἀλλὰ διὰ τοῦτο ὁ λόγος. ἔλαττον γὰρ ἡμῖν μέλει τὸ πρότερον προτεινόμενον ὅπως ἔχει, ἀκριβολογούμεθα δὲ διὰ τὸ συμπέρασμα· ἐκεῖνο γὰρ συνάγει τὸν ἔλεγχον.

99 ὥστε ἐν ἀρχῇ μὲν πρὸς τὸ διπλοῦν καὶ ὄνομα καὶ λόγον οὕτως ἀποκριτέον, ὅτι ἔστιν ὡς, ἔστι δʼ ὡς οὔ, ὥσπερ τὸ σιγῶντα λέγειν ἔστιν ὡς, ἔστι δʼ ὡς οὔ, καὶ τὰ δέοντα πρακτέον ἔστιν ἅ, ἔστι δʼ ἃ οὔ· τὰ γὰρ δέοντα λέγεται πολλαχῶς, καὶ τὰ μὲν ἀναγκαῖα καὶ ὠφέλιμα δεῖ πράττειν, τὰ δὲ κακὰ κἂν συμφέροντα οὔ. ἐὰν δὲ λάθωμεν ἐν ταῖς ἀρχαῖς φυλάξασθαι τῷ ἐνδοιασμῷ τὴν ἀμφίβολον πρότασιν, ὅμως ἐπὶ τῷ τέλει καὶ τῷ συμπεράσματι τοῦ συλλογισμοῦ μικρόν τι προστιθέντας τῇ ἐρωτήσει διορθωτέον· οἷον εἰ ʻἆρʼ ἔστι σιγῶντα λέγειν‘ προτείναντος ἡμεῖς μὴ ὡς ἔστι μὲν ὡς, ἔστι δʼ ὡς οὒ ἀπαντήσωμεν, ἀλλʼ ἀπερισκέπτως εὐθὺς τὸ ἕτερον μονοειδῶς ἀποφήσωμεν τῆς ἀντιφάσεως, οὐκ ἄδηλον ὡς ἐλεγχθησόμεθα· πλὴν μέντοι ἀπείρξομεν εἰ προλαβόντες αὐτοῦ μικρὸν τὸ συμπέρασμα ἐνσταίημεν τόνδε τὸν ἑστῶτα καὶ σιγῶντα Σωκράτην μὴ λέγειν παραγαγόντες. ὡσαύτως δὲ κἂν συμπεράνῃ τις τὸ οὐκ ἄρα συνεπίστανται ὃ ἐπίστανται, ἀληθὲς μὲν ἐπὶ τῶν παίδων, ἐπὶ δὲ τῶν ἐπιστημόνων οὔ. καὶ ἐν ἅπασι δὲ τοῖς παραλογισμοῖς τοῖς ἔχουσι τὸ διττὸν ἐν προτάσεσι τοῦτο δεῖ ποιεῖν. ὅλως τε μαχητέον, ἂν καὶ ἁπλῶς συλλογίζηται, ὅτι οὐχ ὃ ἔφησεν ἀπέφησε πρᾶγμα ἀλλʼ ὄνομα, ὥστʼ οὐκ ἔλεγχος. Καὶ περὶ μὲν τῆς ἐν ὁμωνύμοις καὶ ἀμφιβόλοις λύσεως ἀρκεῖ τοσαῦτα· φανερὸν δὲ ἐκ τούτων καὶ σύνθεσιν καὶ διαίρεσιν ὅπως λυτέον τὰ ἐκείνων ἑξῆς· εἰ γὰρ καὶ τρόπος ἴδιος ὁ παρὰ διαίρεσιν ἀφώρισταί τις, ἀλλʼ οὐδὲν ἧττον ὁ παρὰ σύνθεσιν καὶ παρὰ διαίρεσίν ἐστι.

100 τὸ γὰρ αὐτὸ συντιθέμενον τῷδε διῄρηται ἀπὸ τοῦδε, οἷον ὁ Σωκράτης κάθηται, ὁ καθήμενος δύναται βαδίζειν, ὁ Σωκράτης ἄρα βαδίζει· τὸ γὰρ βαδίζει διῄρηται μὲν τοῦ δύναται, μόνον δὲ συντέθειται τῷ Σωκράτει. ἐν γοῦν τοῖς τοιούτοις ἂν διαιρούμενος καὶ συντιθέμενος ὁ λόγος ἕτερον σημαίνῃ, συμπεραινομένου τοῦ ἐρωτῶντος τοὐναντίον λεκτέον· οὐ γὰρ ἁπλῶς ὁ Σωκράτης κάθηται νῦν ἀλλὰ δύναται. εἰσὶ δὲ πάντες οἱ τοιοίδε λόγοι παρὰ σύνθεσιν καὶ διαίρεσιν ʻἆρʼ ᾧ εἶδες σὺ τοῦτον τυπτόμενον, τούτῳ οὗτος ἐτύπτετο;ʻ ναί. ʻεἶδες δὲ αὐτὸν τῷ ὀφθαλμῷ τυπτόμενον. τῷ ὀφθαλμῷ ἄρα ἐτύπτετο, ἀλλʼ οὐ μάστιγι.ʻ ψεῦδος δέ· οὕτω γὰρ ἔδει συμπερᾶναι ʻτῷ ὀφθαλμῷ ἄρα σὺ εἶδες τοῦτον τυπτόμενον.ʻ γέγονε δὲ ὁ παραλογισμὸς παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν τῷ διελεῖν τὸ τοῦτον τυπτόμενον ἀπὸ τοῦ εἶδες καὶ προσθεῖναι τῷ ὀφθαλμῷ. καὶ πάλιν ʻἆρʼ ᾧ ἐτύπτετο, τούτῳ εἶδες αὐτὸν τυπτόμενον;ʻ ναί. ʻῥάβδῳ δὲ ἐτύπτετο· ῥάβδῳ ἄρα εἶδες καὶ οὐκ ὀφθαλμῷ. ὁρῶμεν δὲ ὀφθαλμῷ ἀλλʼ οὐ ῥάβδῳ.ʻ οὕτω γὰρ μᾶλλον ὤφειλεν ʻεἶδες ἄρα τυπτόμενον αὐτὸν [ἐν] ῥάβδῳ.ʻ νυνὶ δὲ τὸ διαιρῆσαι τὸ εἶδες ἀπὸ τοῦ αὐτὸν τυπτόμενον καὶ προσθεῖναι τῇ ῥάβδῳ τὴν ἀπάτην ἤνεγκεν. ἔχει μὲν οὖν τι κἀκ τῶν

ἀμφιβόλων ἐρωτημάτων τουτὶ τὸ πρόβλημα (τὸ γὰρ τούτῳ οὗτος ἐτύπτετο διττὸν ἢ τῇ μάστιγι δήπουθεν ἢ τῷ ὀφθαλμῷ), νικᾷ δὲ παρὰ τὴν σύνθεσιν εἶναι ἢ παρὰ τὴν ἀμφιβολίαν.

101 οὐ γάρ ἐστι διττὸν παρὰ τὴν διαίρεσιν· οὐ γὰρ ὁ αὐτὸς λόγος γίνεται διαιρούμενος καὶ συντιθέμενος, εἴπερ μὴ καὶ τὸ ὄρος καὶ ὅρος τῇ αὐτῇ προσῳδίᾳ λεχθὲν ἐσήμαινεν ἕτερον καὶ ἕτερον· ἀλλ' ὥσπερ ἐκεῖ τῇ διαφορᾷ τῶν πνευμάτων ἡ τῆς σημασίας ἐπηκολούθησεν, οὕτω κἀνταῦθα ἡ διπλόη παρὰ τὴν σύνθεσιν καὶ διαίρεσιν. ἔτι ἐν τοῖς γεγραμμένοις τὸ αὐτὸ ὄνομα ὅταν ἐκ τῶν αὐτῶν στοιχείων καὶ συλλαβῶν καὶ προσῳδιῶν ᾖ, καὶ κατὰ γένος ὡσαύτως καὶ πτῶσιν καὶ ἀριθμόν, οὐκ ἔχει τὸ διττόν· εἰ μέντοι παραλλάξαι δέοι, ἤδη δ' εὐθὺς καὶ παράσημα ποιοῦνται ἢ στοιχεῖον ἢ προσῳδίαν ἀμείψαντες. τὰ γὰρ φθεγγόμενα οὐ τὰ αὐτά· τὸ γὰρ κλῆσι μαθεῖν τῇ τῶν στοιχείων διαφορᾷ ὁτὲ μὲν τὸ φυτὸν ὁτὲ δὲ τὸ μέρος ἐσήμανεν. ὥστ' οὐ διττὸν κατὰ τὴν ἀμφιβολίαν τὸ προειρημένον σόφισμα, ἀλλὰ παρὰ τὴν διαίρεσιν. ἅμα δὲ καὶ φανερὸν ὡς οὐ πάντες οἱ ἔλεγχοι παρὰ τὸ διττόν, καθάπερ τινές φασιν· ὁ γὰρ κατὰ σύνθεσιν τὸ διττὸν οὐκ ἔχει. Τούτων οὕτως ἐχόντων ἐπείπερ οἱ ῥηθέντες παραλογισμοὶ παρὰ σύνθεσιν καὶ διαίρεσιν, διαιρετέον τῷ ἀποκρινομένῳ τόδε ἀπὸ τοῦδε καὶ προσθετέον τῷδε, ἐναντίως ἢ ὡς ὁ σοφιστὴς πέπραχεν, ἢ καὶ συνημμένον ἐχέτω καθάπαξ καὶ ἀδιαίρετον κἀν τῷ τέλει ὡς ἐν ἀρχαῖς, καὶ ἔσται λύσας. οὐ γὰρ ταὐτὸν εἰσάπαν τὸ φάναι ἰδεῖν τοῖς ὀφθαλμοῖς τυπτόμενον· ἡ γὰρ διαστολὴ τῷ ἰδεῖν ἢ τοῖς ὀφθαλμοῖς προστιθεμένη ποιήσει διαφοράν, ἐκείνως μὲν ὡς τύπτει ἀντὶ ῥάβδου τοῖς ὀφθαλμοῖς, οὕτως δὲ ὡς διὰ τῶν ὀφθαλμῶν ὁρᾷ τυπτόμενον.

102 καὶ ὁ Εὐθυδήμου λόγος τοῦ αὐτοῦ εἴχετο τύπου, οἷον ‘οἶδας σὺ νῦν οὔσας ἐν Πειραιεῖ τριήρεις ἐν Σικελίᾳ ὤν;‘ ἡ δὲ ἀγωγὴ τοῦ σοφίσματος οὕτως ‘πότερον σὺ νῦν ἐν Πειραιεῖ εἶ;‘ ναί. ‘ἐν τούτῳ δ' ὢν οἶδας τὰς ἐν Σικελίᾳ τριήρεις;‘ ναί. ‘ἐν Πειραιεῖ ἄρα ὢν ἐν Σικελίᾳ εἶ.‘ ἡ γὰρ μετάθεσις τῶν ὀνομάτων τῷ ἀμεῖψαι τὰς χώρας τό τε διαιρεθῆναι ἀπ' ἀλλήλων καὶ ἄλλοις συντεθεῖσθαι τὸν παραλογισμὸν ἤνεγκεν· εἰσάγει γὰρ τὸν ὄντα ἐν Πειραιεῖ νῦν καὶ ἐν Σικελίᾳ εἶναι καὶ τὰς ἐν Σικελίᾳ ναῦς τῶν Ἀθηναίων ἅμα καὶ ἐν Πειραιεῖ εἶναι. καὶ πάλιν ‘ἆρ' ὁ Σίμων ἀγαθός ἐστι;‘ ναί. ‘τί δέ; ὁ αὐτὸς καὶ σκυτεὺς μοχθηρός ἐστιν.‘ ἢ τοῦτο μὲν καὶ παρεῖται ὡς ἔγγιον μᾶλλον τοῖς παρὰ τὸ πῆ καὶ ἁπλῶς καὶ τῆς ἐκεῖθεν τευξόμενον λύσεως· οὕτω δὲ προσβιβάζειν ἐστὶν οἰκειότερον ‘ἆρ' ἔστιν ἀγαθὸν μὲν εἶναί τινα σκυτέα, μοχθηρὸν δὲ ἄνθρωπον; ἔστι δέ τις ἕτερος ἀγαθὸς μὲν ἄνθρωπος, πονηρὸς δὲ σκυτεύς; ὥστε ἔσται τις ἀγαθὸς σκυτεὺς μοχθηρός.‘ ἔκειτο δὲ οὐχ οὕτως. καὶ ἔτι ‘ἆρ' ὧν αἱ ἐπιστῆμαι σπουδαῖαι, σπουδαῖα τὰ μαθήματα;‘ ναί. ‘τοῦ δὲ κακοῦ σπουδαῖα τὰ μαθήματα· οὐδὲν γὰρ κωλύει φαῦλον ὄντα τινὰ γεωμετρικὸν εἶναι ἢ ἀριθμητικόν, ἃ δήπουθεν ἀγαθά.‘ καὶ τὸ συμπέρασμα διττόν, τό τε ἀπὸ τῶν κειμένων ὡς τοῦ κακοῦ σπουδαία ἡ ἐπιστήμη, ὅπερ ἀληθές, καὶ ὃ τοῖς σοφισταῖς προσυφάνθη, ὡς ἄρα σπουδαῖον μάθημα τὸ κακόν.

103 ὑπερβαίνοντες δὲ καὶ τοῦτο ὡς ἧττον συμβαῖνον τοῖς προκειμένοις (φιλοτιμούμενοι γὰρ ἐν τοῖς παραδείγμασιν ἔστιν οἷς οὐκ ἀκριβολογούμεθα) ἐκεῖνο προστίθεμεν ‘ἆρα σὺ γέγονας;‘ ναί. ‘τί δέ; ἀληθὲς εἰπεῖν νῦν ὅτι σὺ γέγονας;‘ ναί. ‘σὺ ἄρα γέγονας νῦν.‘ ἢ ἄλλο σημαίνει διαιρεθὲν τὸ νῦν ἀπὸ τοῦ γέγονεν· ἀληθὲς μὲν γὰρ εἰπεῖν ὅτι σὺ γέγονας ἀλλ' οὐχὶ νῦν γέγονας. πάλιν ‘ἆρ' ὡς δύνασαι καὶ ἃ δύνασαι, οὕτω καὶ ποιήσαις ἄν.‘ ναί. ‘σὺ μὴ κιθαρίζων ἔχεις δύναμιν τοῦ κιθαρίζειν. πᾶς δὲ ὁ δύναμιν τοῦ κιθαρίζειν ἔχων καὶ κιθαρίσαι ἄν. σὺ ἄρα μὴ κιθαρίζων νῦν κιθαρίσαις ἂν νῦν.‘ ἢ οὐκ ἔχει δύναμιν τούτου· οὐ γὰρ ἅμα ἐν οἷς οὐ κιθαρίζει δύναμιν ἔχει τότε κιθαρίσαι, ἀλλ' ὕστερον καὶ μετὰ τοῦτο. καὶ ἀληθὴς μὲν λύσις αὕτη, λύουσι δέ τινες ταῦτα καὶ ἄλλως. εἰ γὰρ ἔδωκε, φασίν, ὡς δύναται ποιεῖν καὶ κιθαρίζειν, καὶ δυνατὸν μὴ τὸ τῷ ἀναγκαίῳ, ἀλλὰ τὸ τῷ ἐνδεχομένῳ σύστοιχον ἔλαβεν, οὐ συμβαίνειν ἄτοπον τὸ ἅμα μὴ κιθαρίζοντα κιθαρίζειν. τὸ γὰρ ἐνδεχόμενον γενέσθαι ὕστερον καὶ μετὰ ταῦτα· οὐκ ἐξ ἀνάγκης οὖν πάντως τὸ ὡς δύναται ποιεῖν δέδοται, τῷ μὴ ταὐτὸν εἶναι τῷ ἁπλῶς δύνασθαι τὸ ἐξ ἀνάγκης δύνασθαι.

ἀλλὰ τότε ἂν ἔλεγον καλῶς, εἰ ἐπὶ πᾶσιν ἡ αὐτὴ ἤρκει λύσις τοῖς κατὰ τὸ αὐτὸ εἶδος παραλογισμοῖς· τῶν γὰρ παρὰ ταὐτὸ λόγων ἡ αὐτὴ λύσις, οἷον τοῖς κατὰ τὴν ὁμωνυμίαν μία ἐπὶ πᾶσιν ἀπέχρησε καὶ κοινή.

104 οὐχ ἁρμόττει δὲ πᾶσι τοῖς παρὰ σύνθεσιν καὶ διαίρεσιν, ἀλλ' ἐν οἷς μόνοις τὸ δύναται πρόσκειται. φανερὸν ἄρα ὡς οὐ καλῶς λύουσιν· ἔστιν οὖν πρὸς τὸν ἐρωτῶντα μᾶλλον ἢ πρὸς τὸν λόγον καὶ τὴν ἀλήθειαν. Παρὰ δὲ προσῳδίαν λόγοι μὲν οὐκ εἰσὶν οὔτε τῶν γεγραμμένων οὔτε τῶν λεγομένων, πλὴν εἴ τινες ὀλίγοι γένοιντ' ἄν, οἷον οὗτος 'πότερον οὗ καταλύεις οἰκία;' ναί. 'οὐκοῦν τὸ οὐ καταλύεις τοῦ καταλύεις ἀπόφασίς ἐστιν; ἡ οἰκία ἄρα ἀπόφασις.' ὡς δὴ λυτέον, δῆλον· οὐ γὰρ τὸ αὐτὸ σημαίνει τὸ μὲν ὀξύτερον τὸ δὲ βραδύτερον ῥηθὲν καὶ μετὰ τόνου καὶ χωρίς. Δῆλον δὴ καὶ πρὸς τοὺς παρὰ τὸ ὡσαύτως λέγοντας τὰ μὴ ταὐτά, οὓς δὴ καὶ παρὰ τὸ σχῆμα τῆς λέξεως ὀνομάζομεν, πῶς ἀπαντητέον, ἐπείπερ ἔχομεν ὡρισμένα τὰ γένη τῶν κατηγοριῶν τὰ πρῶτα καὶ ἀνωτάτω· τῷ γὰρ ταῦτα φύρειν εἰς ἄλληλα ὁ παραλογισμὸς γίνεται. ὁ μὲν γὰρ ὡς εἰπεῖν ἔδωκεν ἐρωτηθεὶς μὴ ὑπάρχειν τι τῶν ἐννέα μηδ' ὅλως συμβεβηκὸς ὅσα τί ἐστι σημαίνει καὶ δηλοῖ οὐσίαν, ὁ δὲ ἔδειξεν αὐτὸ τοῦτο ὑπάρχειν τι τῶν πρός τι ἢ ποσῶν διὰ τὴν λέξιν καὶ τὴν κατὰ τὴν προφορὰν ὁμοιότητα· οἷον 'πότερον τὸ ζῶον καὶ τὸ φυτὸν οὐσία;' ναί. 'τί δέ, οὐχὶ καὶ οὐδέτερα;' ναί. 'καὶ τὸ ποσὸν δὴ καὶ τὸ ποιὸν καὶ τὸ διπλάσιον οὐδέτερα καὶ συμβεβηκότα.' πάλιν 'ἆρ' ἐνδέχεται τὸ αὐτὸ ἅμα ποιεῖν τε καὶ πεποιηκέναι;' οὔ. 'ἀλλὰ μὴν ὁρᾶν γέ τι ἅμα καὶ ἑωρακέναι τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ἐνδέχεται.

105 τί γὰρ κωλύει ὃν χθὲς Σωκράτην τεθέαμαι, καὶ νῦν τὸν αὐτὸν ὁρᾶν κατ' εἶδος καὶ ἀριθμόν; ποιεῖν δὲ τὸ ὁρᾶν, πεποιηκέναι δὲ τὸ ἑωρακέναι ὡς κατὰ τὴν προφοράν. εἰ δὲ ταῦτα, κἀκεῖνα.' ψεῦδος δέ· ὁρᾶν μὲν γὰρ καὶ ἑωρακέναι δυνατὸν καὶ διὰ τὴν ἄχρονον προσβολὴν τῆς αἰσθήσεως (ἅμα γὰρ ᾔσθετο καὶ αἰσθάνεται) καὶ διὰ τὸ εἰρημένον, ποιεῖν δὲ καὶ πεποιηκέναι πῶς ἐγχωρεῖ; δυνατὸν μὲν γὰρ καὶ χθὲς πεποιηκέναι με ἅμαξαν καὶ νῦν ποιεῖν, ἀλλ' οὐ τὴν αὐτὴν ἢ κατὰ ταὐτό. πάλιν 'ἆρ' ἐστὶ τῶν πάσχειν ποιεῖν τι;' οὔ. 'τί δέ; οὐ τὸ τέμνεται, καίεται, αἰσθάνεται ὁμοίως λέγεται καὶ πάντα πάσχειν τι σημαίνει;' ναί. 'καὶ τὸ τέμνειν καὶ καίειν καὶ ὁρᾶν ὁμοίως λεγόμενα εἴη ἂν καὶ τῆς αὐτῆς διαθέσεως. ἀλλὰ μὴν τό γε ὁρᾶν αἰσθάνεσθαί τί ἐστιν, ὥστε καὶ πάσχειν· πάθος γὰρ ἡ αἴσθησις· ἐλέγομεν δὲ αὐτὸ καὶ ποιεῖν. ἔσται ἄρα τι τῶν πάσχειν ποιεῖν.' εἰ δή τις ἐκεῖ δοὺς μὴ ἐνδέχεσθαι ἅμα τὸ αὐτὸ ποιεῖν καὶ πεποιηκέναι τὸ ὁρᾶν δὲ καὶ ἑωρακέναι φαίη ἐγχωρεῖν, οὔπω ἐλήλεγκται, εἰ μὴ λέγοι τὸ ὁρᾶν ποιεῖν τι ἀλλὰ πάσχειν· προσδεῖται γὰρ τούτου τοῦ ἐρωτήματος πρὸς τὸ γενέσθαι ἔλεγχον. οὐ γὰρ εἰ ἀμαθῶς ὑπὸ τοῦ ἀκούοντος ὑπολαμβάνεται δεδωκέναι, ὅτε τὸ τέμνειν ποιεῖν τι καὶ τὸ τετμηκέναι πεποιηκέναι ἔδωκε, καὶ ὅσα ἄλλα ὁμοίως λέγεται, ἀποχρώντως νομιοῦμεν· ἴσως μὲν γὰρ ἐκεῖνος τὸ ὁρᾶν ποιεῖν πρὸς τὴν ἐκφώνησιν ἔδωκεν, οὐ πρὸς τὸ σημαινόμενον, ὁ δέ γε ἀκροατὴς καὶ πρὸς τὸ πρᾶγμα ὁμοίως λέγεσθαι συνενόησεν.

106 τὸ δὲ νοεῖται μὲν οὐχ ὁμοίως, φαίνεται δὲ διὰ τὴν λέξιν. καὶ ταὐτὸ συμβαίνει κἀνταῦθα, ὅπερ ἐν ταῖς ὁμωνυμίαις. οἴεται γὰρ κἀκεῖ ὁ τῶν λόγων ἀγνὼς τὸν ἐρωτώμενον ὃ ἔφησεν ἀποφῆσαι πρᾶγμα, οὐκ ὄνομα· τῷ δὲ ἔτι προσδεῖ ἐρωτήματος, εἰ μὴ ὁμώνυμον ᾤετο, καὶ εἰ ἐφ' ἓν καὶ ὃ συνῆξεν ὁ σοφιστὴς δέδωκεν· εἰ γὰρ ταῦτα ὁμολογήσειεν, ὄντως ἐλήλεγκται. καὶ ἐν τοῖς παρὰ τὸ σχῆμα τῆς λέξεως ὡσαύτως διορισθήσεται, εἰ τὰ κατὰ προφορὰν ταὐτὰ καὶ ἐν πράγμασι δέδωκεν. Ὅμοιοι δὲ καὶ οἵδε οἱ λόγοι τούτοις, οἷον 'ἆρ' ὅ τις ἔχων πρότερον ὕστερον μὴ ἔχει, ἀπέβαλε;' ναί. 'ὁ δέκα ἀστραγάλους ἔχων καὶ ἀποβαλὼν ἕνα οὐχ ἕξει δέκα· τοσούτους ἄρα ἀπέβαλεν.' ψεῦδος 〈δέ〉· ποιὸν γὰρ δοὺς ποσὸν συνεπέρανεν· ποιὸν γάρ τι τὸ εἶδος, εἴδη δὲ οἱ ἀριθμοί. τὸ μὲν οὖν εἶδος αὐτὸ τῆς δεκάδος, ὃ καὶ προέτεινεν ὁ σοφιστής, ἔφθαρται ἀποβληθέντος τοῦ ἑνὸς ἀστραγάλου (ἕτερος γὰρ ἀριθμὸς καταλέλειπται), τὸ μέντοι ποσὸν οὐχ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἅπαν· μεμένηκε γὰρ ἐννέα. ὥστε ὃ μὲν μὴ ἔχει πρότερον ἔχων, ἀποβέβληκεν, αὐτὸ δηλαδὴ τὸ τῆς δεκάδος εἶδος· ὅσα δὲ μὴ ἔχει ἢ ὅσα, οὐκ ἀνάγκη τοσαῦτα ἀποβαλεῖν. ἐρωτήσας οὖν ‘ὃ ἔχει‘ συνάγει ἐπὶ τοῦ ὅσα· τὰ γὰρ δέκα ποσά.

107 εἰ δὲ ἤρετο ἐξ ἀρχῆς ‘εἴ τις μὴ ἔχει ὕστερον ὅσα εἶχε πρότερον, ἆρά γε ἀποβέβληκε τοσαῦτα;‘ οὐδεὶς ἂν ἔδωκεν ἀλλ’ ἢ τοσαῦτα ἢ τούτων τι, τρία τυχὸν ἢ ἓν ἀπὸ τῶν δέκα. πάλιν ἐπὶ τῶν αὐτῶν ‘δοίη ἄν τις ὃ μὴ ἔχει;‘ οὔ. ‘τί δέ; ὁ δοὺς ἕνα ἀστράγαλον δέκα ἔχων οὐ δέδωκεν, ὃ μὴ εἶχεν; οὐ γὰρ εἶχεν ἕνα μόνον. ἢ οὐ δέδωκεν ὃ οὐκ εἶχεν, ἀλλ’ ὡς οὐκ εἶχεν· μὴ γὰρ ἔχων ἕνα μόνον δέδωκεν ἕνα. τὸ δὲ μόνον οὔτ’ οὐσίαν ἢ ποσὸν ἢ ποιὸν σημαίνει, ἀλλ’ ὡς ἔχει πρός τι, οἷον ὅτι οὐ μετ’ ἄλλου, καὶ τρόπος τίς ἐστιν. ὥσπερ οὖν εἰ ἤρετο ‘ἆρ’ ὃ μή τις ἔχει δοίη ἄν;‘ μὴ φάντος δὲ προσθείη ‘εἰ δοίη ἄν τις ταχέως, ὥστε καὶ δοίη ἄν τις ὃ μὴ ἔχει‘, φανερὸν ἦν ὅτι οὐ συνελογίζετο (τὸ γὰρ ταχέως οὐ τόδε διδόναι ἀλλ’ ὧδε διδόναι ἐστίν), οὕτω κἀκεῖ· ὡς δὲ μὴ ἔχει, δοίη ἄν τις, οἷον ἡδέως ἔχων δοίη ἂν λυπηρῶς. Παρὰ τὸ σχῆμα τῆς λέξεως καὶ οἱ τοιοίδε πάντες· ‘ἆρ’ ᾗ μὴ ἔχει χειρὶ τύπτοι ἄν; καὶ ᾧ μὴ ἔχει ὀφθαλμῷ ἴδοι ἄν;‘ οὔ. ‘τί δὲ ὁ διπλᾶ ἔχων χρώμενος δὲ τῷ παρ’ ἑκατέροις ἑνί; ὥστε ᾗ μὴ ἔχει χειρί (οὐ γὰρ μίαν ἔχει μόνον) καὶ ᾧ μὴ ἔχει ὀφθαλμῷ (οὐ γὰρ ἕνα μόνον) τύπτει καὶ ὁρᾷ.‘ ψεῦδος δέ· οὐ γὰρ ᾧ οὐκ ἔχει, ἀλλ’ ὡς οὐκ ἔχει. πάλιν ‘ἆρ’ ἔχει τις ὃ οὐκ ἔλαβεν;‘ οὔ. ‘ὁ μίαν παρά του ψῆφον λαβὼν ἔχων δὲ σὺν αὐτῇ καὶ ἑτέραν ἔχει ὃ οὐκ ἔλαβεν, δύο ἀντὶ μιᾶς.

108 ‘ ἢ οὐκ ἔχει ὃ οὐκ ἔλαβεν, ἀλλ’ ὡς οὐκ ἔλαβε· μίαν γὰρ λαβὼν ἔχει δύο. ἀλλ’ αἱ μὲν ἀληθεῖς τῶνδε τῶν σοφισμάτων λύσεις αὗται. ὡς μέντοι γε ἕτεροι λύουσι. γελοίως ἔχει. τύπτει γάρ τις, φασίν, οὐχ ᾗ μὴ ἔχει χειρὶ ἀλλ’ ᾗ ἔχει, καὶ ὁρᾷ οὐχ ᾧ μὴ ἔχει ὀφθαλμῷ ἀλλ’ ᾧ ἔχει· οἷς γὰρ χρῆταί τις ἐνεργῶν, ταῦτα καὶ ἔχει πρὸς τὴν ἐνέργειαν, ἣν νῦν ἐνεργεῖ. ὅ τε πλείους ψήφους ἔχων ἔχει καὶ μίαν, ἣν ἐκ τῆς λήψεως ἔλαβεν. καὶ τούτων οἱ μὲν πρὸς τὸ συμπέρασμα ἐνίστανται, μίαν αὐτὸν λέγοντες ἔχειν τὴν ἐνεργοῦσαν, οἱ δ’ εὐθὺς καὶ τὴν πρώτην ἐρώτησιν ἀναιροῦσιν, ὡς ἐνδέχεται ὃ μὴ ἔλαβεν ἔχειν, οἷον οἶνον λαβόντα ἡδὺν διαφθαρέντα ἐν τῇ λήψει ἔχειν ὀξύν. ἀλλ’ ὅπερ ἐλέχθη καὶ πρότερον, οὗτοι πάντες οὐ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὸν ἄνθρωπον λύουσιν. εἰ γὰρ κυρίως ἔλυον, δόντας καθάπαξ τὸ ἀντικείμενον οὐχ οἷόντε λύειν, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων. παντὸς γὰρ ψευδοῦς τὸ ἀντικείμενον ἀληθές, τοῦτο δὲ ἄλυτον· νυνὶ δὲ καὶ τούτου δοθέντος πάλιν ἀνασκευάζεται. εἰ γὰρ τὸ μὴ τύπτειν ᾗ οὐκ ἔχει χειρὶ ψεῦδος κατ’ ἐκείνους, ἀληθὲς ἄρα τὸ τύπτειν ᾗ 〈οὐκ〉 ἔχει χειρί· τοῦτο γὰρ ἀντικείμενον· ὅπερ εἰ ἀληθές, οὐ λύσιμον. λύεται δέ· ἐρεῖ γὰρ ὁ ἐρωτώμενος πρὸς τὸν σοφιστήν, ὡς δέδωκα ᾗ οὐκ ἔχει χειρὶ τύπτειν ὑποσημαίνων τὴν λαιάν, ἣν ὡδὶ μὲν οὐκ ἔχει ὡς δεξιάν, ὡδὶ δὲ ἔχει ὡς ἀριστεράν.

109 ὥστε οὐ λύσις τῶν σοφισμάτων ἣν ἐπῆγον ἐκεῖνοι, ἀλλ’ ἣν ἡμεῖς. Ἔτι δ’ εἰσὶ καὶ οἵδε τῶν λόγων τοῦ αὐτοῦ σχήματος· ‘ἆρ’ ὃ γέγραπται γεγραφέ τις;‘ ναί. ‘γέγραπται δὲ λόγος ὅτι νῦν σὺ κάθησαι ψευδής. ἦν δὲ ἀληθὴς ὅτε ἐγράφετο· ἅμα ἄρα ἐγράφετο ψευδὴς καὶ ἀληθής.‘ ἢ τὴν μὲν πρότασιν ἠρώτησεν ἐπὶ ποσοῦ, ἐπὶ λόγου λέξεις ἔχοντος καὶ συλλαβὰς ὄντα ποσά, καὶ ἥντινα συλλαβὴν ἢ λέξιν γέγραφέ τις καὶ γέγραπται· τὸ δὲ συμπέρασμα συνῆξεν ἐπὶ ποιοῦ· τὸ γὰρ εἶναι ψευδῆ ἢ ἀληθῆ λόγον ἢ δόξαν οὐ τοσόνδε ἀλλὰ τοιόνδε· ὁ γὰρ αὐτὸς λόγος καὶ ἐπὶ τῆς δόξης. πάλιν ‘ὃ μανθάνει ὁ μανθάνων, τοῦτό ἐστιν ὃ μανθάνει;‘ ναί. ‘μανθάνει δέ τις τὸ βραδὺ ταχύ· τὸ βραδὺ ἄρα ταχύ.‘ λύσις ὅτι οὐχ ὃ μανθάνει ἀλλ’ ὡς μανθάνει εἴρηκεν, καὶ οὐ τὸ πρᾶγμα αὐτὸ ἠρώτηκεν, ἀλλὰ τὸν τρόπον ὅπως. καὶ ‘ἆρ’ ὃ βαδίζει τις, πατεῖ;‘ ναί. ‘βαδίζει δέ τις ὅλην τὴν ἡμέραν· τὴν ἡμέραν ἄρα πατεῖ.‘ ἢ οὐχ ὃ βαδίζει ἡ πρώτη πρότασις ἔλεγεν (οὐ γὰρ πρόσκειται τὸ διάστημα), ἀλλ’ ὅτε βαδίζει, καὶ τὸν καιρὸν ἐδήλου καθ’ ὅν. πάλιν ‘ἆρ’ ὃ πέπωκέ τις, ἐκεῖνο πέπωκε;‘ ναί. ‘πέπωκε δέ τις κύλικα· κύλικα ἄρα ὅδε πέπωκεν.‘ ἢ οὐ πέπωκε τὸ σκεῦος ἢ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κύλικα ἀλλ’ ἐκ τῆς κύλικος. ἔτι ‘πότερον ὅ τις οἶδεν ἢ μαθὼν ἢ εὑρὼν οἶδε;‘ ναί. ‘ὁ Πλάτων δὲ ὧν οἶδε, τὸ μὲν εὗρε τὸ δὲ ἔμαθεν. [15]

110 ἃ δέ τις μήθ’ εὗρε μήτ’ ἔμαθεν, οὐδὲ οἶδεν ὅλως· ἕτερος γὰρ τρόπος οὐχ ὑπολέλειπται γνώσεως. ὁ Πλάτων ἄρα οὐκ οἶδεν ἃ οἶδεν.‘ λύεται δὲ ὅτι μὴ ὃ ἔδωκε συνεπέρανεν, ἀλλὰ ποιὸν δοὺς ἰδιαζόντως, τὸ μάθημα καὶ τὸ εὕρεμα, ἐπὶ ποσοῦ συνάγει συνάπτων ἀμφότερα· ποσὰ γὰρ τὰ δύο. παρὰ τὸ σχῆμα τῆς προσηγορίας καὶ τὸ τὴν κίνησιν μὴ ἐν τῷ κινουμένῳ ἀλλ’ ἐν τῷ κινοῦντι τίθεσθαι· ἡ ὅρασις γάρ, φησίν, οὐκ ἐν τῷ ὁρωμένῳ ἀλλ’ ἐν τῷ ὁρῶντι. πάσχουσι δὲ αἱ αἰσθήσεις, οὐκ ἐνεργοῦσι. πάλιν ‘ὅ εἰμι ἐγώ, σὺ οὐκ εἶ· ἄνθρωπος δὲ ἐγώ· σὺ ἄρα ἄνθρωπος οὐκ εἶ.‘ τὸ γὰρ ἐγὼ καὶ σύ, ὄντα ἐπὶ τῶν ἀτόμων καὶ μερικά, συνεῖλξαν καὶ τὸ κοινὸν, καὶ ὡς τόδε τι σημαίνειν τὸν ἁπλῶς δεδώκασιν ἄνθρωπον. τούτοις σύναπτε καὶ τὸν τοῖς σοφισταῖς θρυλούμενον τρίτον ἄνθρωπον, ἕτερον ὄντα παρὰ τὴν ἰδέαν καὶ τοὺς καθ’ ἕκαστα. οὕτω γὰρ προφέρουσιν· ὅταν, φασίν, ἄνθρωπον περιπατεῖν λέγομεν, οὔτε τὴν ἰδέαν εἴτ’ οὖν τὸν αὐτοάνθρωπον τοῖς λόγοις συνείρομεν (ἀκίνητος γάρ) οὔτε τινὰ τῶν μερικῶν καὶ καθ’ ἕκαστα· τὸ μὲν γὰρ ἄνθρωπον περιπατεῖν γινώσκομεν, τίς δὲ ἀπὸ τῶν καθ’ ἕκαστα ὁ περιπατῶν ἀγνοοῦμεν. ἔσται ἄρα τρίτος ἄνθρωπος παρὰ τούτους, καθ’ οὗ τὸ περιπατεῖν κατηγοροῦμεν. ἢ ὁ μὲν ἄνθρωπος καὶ ἁπλῶς τὸ κοινὸν ἅπαν οὐ τόδε τι σημαίνει καὶ ἄτομον, ὡς ἂν τὸ σχῆμα τῆς προσηγορίας προσαναγκάζει καὶ οἱ σοφισταὶ βούλονται, ἀλλὰ τοιόνδε τι ἢ ποσὸν ἢ πρός τι ἢ ἕτερόν τι τῶν τοιούτων· ἃ πάντα ἐπὶ τοῦ προκειμένου συμβέβηκεν. [15]

111 ὁ γὰρ εἰδικὸς ἄνθρωπος οὐχ ἕν τι ἀφωρισμένον ἔσται καὶ τόδε, ἀλλ’ ὡς τὸ ἐκ πάντων σημαῖνον ἄθροισμα πλῆθός τι ἔσται καὶ διὰ τοῦτο ποσόν, ὡς δὲ τῶν ἄλλων ἀφορίζον τὰ ὑποκείμενα καὶ μορφὴ ὂν ποιόν, ὡς δὲ εἶδος γένους πρός τι. πῶς οὖν τὸ τοιοῦτον ἢ οὐσία τις ἔσται μοναδικὴ καὶ καθ’ αὑτὴν ὑφεστῶσα ἢ τρίτος ἄνθρωπος; ὥσπερ γὰρ ὁ μουσικὸς Κορίσκος ἕτερος μὲν ἂν ῥηθείη τοῦ ἁπλῶς Κορίσκου, οὐ τῇ ὑποστάσει μέντοι καὶ τῷ ὑποκειμένῳ ἀλλ’ ἢ τῷ λόγῳ μόνῳ (οὐ γάρ ἐστι μουσικὸς ἔξω τοῦ Κορίσκου), οὕτως οὐδέ τις κοινὸς ἄνθρωπος αὐθυπόστατος ἔσται καὶ ἴδιος τῶν ἐν μέρει χωρὶς ἀλλ’ ἢ λόγῳ καὶ ἐννοήματι, καὶ οὐ τὸ ἐκτίθεσθαι ἐν ἀπαριθμήσει τοὺς καθ’ ἕκαστα ἀνθρώπους καὶ ἕτερον ἐκείνων λέγειν ποιεῖ τὸν τρίτον ἄνθρωπον, ἀλλὰ τὸ συγχωρεῖν τὴν ἄνθρωπος φωνὴν τόδε τι εἶναι καὶ ἄτομον· οὐ γάρ ἐστιν ὅμοιον ὅπερ Καλλίας καὶ ὅπερ ἄνθρωπος. οὔτ’ αὖ εἰ καί τις μὴ τόδε τι καὶ οὐσίαν τὸ ἐκτιθέμενον λέγει, τίθεται δὲ ποιόν, ἐκτὸς θεωρήσει τῶν πολλῶν καὶ καθ’ ἕκαστα, ἀλλ’ εἴ τι δἂν περὶ αὐτοῦ ἢ ἑνιαῖον ἢ ὑποστατικὸν φθέγξαιτο, τοῖς πολλοῖς συγχρήσεται. [15]

112 φανερὸν οὖν ὅτι οὐ δοτέον τόδε τι τὸ κοινῇ κατηγορούμενον ἐπὶ πᾶσιν ἀλλ’ ἤτοι ποιὸν ἢ ποσὸν ἢ πρός τι ἢ τῶν τοιούτων τι σημαίνειν, ὡς εἴρηται. Ὅλως δὲ ἐν τοῖς παρὰ τὴν λέξιν λόγοις ἀεὶ κατὰ τὸ ἀντικείμενον ἔσται ἡ λύσις ἢ παρ’ ὅ ἐστι ὁ λόγος· οἷον εἰ παρὰ σύνθεσίν ἐστιν ὁ λόγος, διελόντι, εἰ δὲ παρὰ διαίρεσιν, συνθέντι· εἰ παρὰ προσῳδίαν ὀξεῖαν, ἡ περισπωμένη λύσις, καὶ εἰ παρὰ ψιλήν, ἡ δασεῖα, καὶ ὅλως εἰ παρὰ τόνον, τὸ ἄνευ τόνου. εἰ δὲ παρ’ ὁμωνυμίαν, τὸ ἀντικείμενον ὄνομα εἰπόντα λύειν· οἷον εἰ ἔμψυχον συμβαίνει συνάγειν τὸν σοφιστὴν ἐξ ὧν ἠρώτησεν ὁμωνύμων, λύειν ἀποφήσαντα μὴ τοιοῦτον δεδωκέναι ἀλλ’ ἄψυχον, καὶ τὸ ἔμπαλιν, ὡς εἴπερ ἐπὶ τοῦ διδάσκοντος ὁ λόγος εἴη τοῦ τε Πλάτωνος καὶ τοῦ βιβλίου· ἄμφω γὰρ διδάσκει, ὧν τὸ μὲν ἔμψυχον τὸ δὲ ἄψυχον. καὶ ἐπὶ τῆς ἀμφιβολίας δὲ καὶ ἐπὶ τῆς λέξεως ὁμοιότητος τὸ ἀντικείμενον ἔσται λύσις, οἷον ‘ἆρ’ ὃ μὴ ἔχει, δοίη ἄν τις;‘ ἢ οὐχ ὃ μὴ ἔχει ἀλλ’ ὡς οὐκ ἔχει, οἷον ἕνα μόνον ἀστράγαλον· τοῦτο γὰρ καὶ ἀντίκειται. καὶ ὃ ἐπίσταται, μαθὼν ἢ εὑρὼν ἐκεῖνο καὶ οἶδεν ὡς ἐφ’ ἑνὸς ἀκουόμενον, ἀλλ’ οὐχ ἃ ἐπίσταται. καὶ πατεῖ οὐχ ὅτε βαδίζει χρόνον, ἀλλ’ ὃ βαδίζει διάστημα. Πρὸς δὲ τοὺς παρὰ τὸ συμβεβηκὸς ἅπαντας μίαν καὶ κοινὴν λύσιν ἐπάξομεν καὶ οὐχ ὥσπερ ἕτεροι διαφόρους καὶ ἀσυμφώνους. [15]

113

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεὶ γὰρ ἀδιόριστον καὶ οὐκ ἀκριβῶς ἔγνωσται, πότε τὸ τῷ κατηγορουμένῳ ὑπάρχον ὑπάρχει καὶ τῷ ὑποκειμένῳ πράγματι, ἀλλ’ ἐπ’ ἐνίων μὲν δοκεῖ καὶ φασί (τὰ γὰρ οὐσιωδῶς τοῖς κατηγορουμένοις ἐνόντα καὶ καθ’ αὑτὸ καὶ ἐπὶ τῶν ὑποκειμένων διαβαίνει) τὰ δ’ ἄλλως ἔχοντα οὔ, τοῦτο δὴ καὶ πρὸς λύσιν ἐπάγειν ἀρκεῖ, ὡς οὐκ ἀναγκαῖον καὶ τῷ πράγματι συμβαίνειν ἅπαν ὃ καὶ τῷ κατηγορουμένῳ, ἀλλὰ τὰ μὲν τὰ δ’ οὔ, ὥς γε εἴρηται. συμβαλεῖται δὲ πρὸς λύσιν καὶ τὸ οἷον ἢ ὁποῖον ἀντερωτώμενον· ἐρωτῶντος γὰρ εἰ ὁ Σωκράτης λευκόν, ἵνα συναγάγῃ ὅτι χρῶμα, ἐπειδὴ τὸ λευκὸν διττὸν τό τε λελευκωμένον σῶμα καὶ ἡ λευκότης αὐτή, καὶ τὸ μὲν δοῦναι ἀληθὲς τὸ δὲ ψεῦδος, εἰ ἀντερωτήσαις οἷον λευκὸν αἰτεῖ λαβεῖν. ἐσεῖται συνειλημμένος ἀμφοῖν καὶ οὐ προβήσεται πεφωραμένα τὰ τῆς τέχνης αὐτῷ. εἰσὶ δὲ πάντες οἱ τοιοίδε τῶν λόγων παρὰ τὸ συμβεβηκός· ‘ἆρ’ οἶδας ὃ μέλλω σε ἐρωτᾶν;‘ οὔ. ‘ἆρ’ οἶδας ὅτι ἡ ἀρετὴ ἀγαθόν;‘ ναί. ‘τοῦτο δὲ μέλλω σε ἐρωτᾶν, ὥστ’ οἶδας ὃ μέλλω σε ἐρωτᾶν.‘ πάλιν ‘ἆρ’ οἶδας τὸν προσιόντα κεκαλυμμένον;‘ οὔ. ἀποκαλύψαντες δὲ δεικνύουσι τὸν Κορίσκον καὶ συνάγουσι τὸν αὐτὸν εἰδέναι καὶ μή. πάλιν ‘ὁ ἀνδριὰς ἔργον ἐστί;‘ ναί. ‘τί δέ, καὶ σός;‘ ναί. ‘σὸν ἄρα ὁ ἀνδριὰς ἔργον. ἀλλὰ μὴν καὶ οὐ σός· τοῦ Φειδίου γάρ.‘ πάλιν ‘τὰ ὀλιγάκις ὀλίγα ὀλίγα;‘ ναί. ‘ἀλλὰ μὴν τὰ ἑκατὸν πρὸς τὰ δεκακισμύρια ὀλιγάκις ὀλίγα.

114 τὰ ἑκατὸν ἄρα ὀλίγα. ἀλλὰ μὴν καὶ πολλά.‘ φανερὸν ἐν ἅπασι τούτοις ὅτι οὐκ ἀνάγκη ἅπαν τὸ τῷ κατηγορουμένῳ ὑπάρχον καὶ κατὰ τοῦ ὑποκειμένου πράγματος ἀληθεύεσθαι. ἐν μόνοις γὰρ τοῖς κατὰ τὴν οὐσίαν ἀδιαφόροις καὶ ἓν οὖσιν ἅπαντα δοκεῖ ταὐτὰ ὑπάρχειν· τῷ δ’ ἀγαθῷ οὐ ταὐτόν ἐστιν ἀγαθῷ τε εἶναι καὶ μέλλοντι ἐρωτᾶσθαι, οὐδὲ τῷ προσιόντι ἢ κεκαλυμμένῳ προσιόντι τε εἶναι καὶ Κορίσκῳ. ὥστε οὐκ εἰ οἶδα τὸν Κορίσκον, ἀγνοῶ τὸν προσιόντα, τὸν αὐτὸν οἶδα καὶ ἀγνοῶ· οὐδ’ εἰ τοῦτό ἐστιν ἐμόν, ἔστι δὲ ἔργον, ἐμόν ἐστιν ἔργον, ἀλλ’ ἢ κτῆμα ἢ πρᾶγμα ἢ ἄλλο τι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. Καὶ παρ’ ἡμῶν μὲν τὰ τοιάδε σοφίσματα οὕτω δήπου ἐκτεθειμένα λέλυνται, λύουσι δέ τινες καὶ ἑτέρως ἀναιροῦντες τὴν ἐρώτησιν τῷ δέχεσθαι ἀληθεύειν τὸ συμπέρασμα· φασὶ γὰρ ἐνδέχεσθαι τὸ αὐτὸ πρᾶγμα καὶ εἰδέναι καὶ ἀγνοεῖν, ἀλλὰ μὴ κατὰ ταὐτό. τὸν οὖν προσιόντα οὐκ εἰδότες, τὸν δὲ Κορίσκον εἰδότες τὸ αὐτὸ εἰδέναι καὶ ἀγνοεῖν φασιν, ἀλλ’ οὐ κατὰ ταὐτό. καίτοι πρῶτον μέν, καθάπερ ἤδη εἴπομεν, δεῖ τῶν παρὰ ταὐτὸ πάντων καὶ ἐφ’ ἑνὸς εἴδους παραλογισμῶν τὴν αὐτὴν καὶ μίαν εἶναι διόρθωσιν· ἣν δὲ λέγουσιν, οὐκ ἐφαρμόττει πᾶσι τοῖς παρὰ τὸ συμβεβηκὸς σοφίσμασιν, ἀλλ’ οἷς μόνοις τὸ εἰδέναι πρόσκειται, ὡς ἐπὶ τῶν εἰρημένων, ἐπὶ δὲ τῶν ἄλλων οὔ, οἷον ἐπὶ τοῦ εἶναι ἤ πως ἔχειν ἐστίν. οὐδὲν δὲ κωλύει τὸν αὐτὸν λόγον πλείους μοχθηρίας ἔχειν, ἀλλ’ οὐχ ἡ πάσης μοχθηρίας ἐμφάνισις λύσις.

115 ἐγχωρεῖ γὰρ ὅτι μὲν ψευδῆ συλλελόγισται δεῖξαί τινα, παρ’ ὃ δὲ μὴ δεῖξαι, οἷον τὸν Ζήνωνος λόγον, ὅτι οὐκ ἔστι κινηθῆναι, ἐλέγξειεν ἄν τις καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς οὕτως ἐπιχειρῶν· εἰ μὴ ἔστι κίνησις, οὐδ’ ἔσται τὸ ποθὲν ποῖ. εἰ μὴ τοῦτο, οὐδ’ ὁ ἥλιος ἀπ’ ἀνατολῶν ἐπὶ δυσμὰς κινηθήσεται. ἔνθεν οὐδὲ ἡμέραι καὶ νύκτες ἔσονται. τοῦτο δὲ ἀδύνατον· ψεῦδος ἄρα τὸ μὴ εἶναι κίνησιν. ἀλλὰ κἂν μυριάκις οὕτως ἐλέγχων συλλελογισμένος ᾖ, οὔτε λύει καὶ ἁμαρτάνει· ἦν γὰρ ἡ λύσις ἐμφάνισις ψευδοῦς συλλογισμοῦ, παρ’ ὃ ψευδής· ὁ δὲ τὸ μὲν αἴτιον τῆς ἀπάτης παρῆκεν εἰπεῖν καὶ διὸ ἔψευσται (ἦν δὲ τὸ λαμβάνειν ἐνεργείᾳ τὰ ἡμίση τοῦ διαστήματος, ἃ δήπουθεν ἄπειρα καὶ ἀδιεξίτητα), εἶτα ἐλέγχειν οἴεται τῷ συνάγειν τὰ ἀντικείμενα. καὶ ὅστις γοῦν ἰσχύσας μὴ συλλελογίσθαι δείξει τὸ σόφισμα τῷ κατά τι τὴν συλλογιστικὴν ἐκκλίνειν παράδοσιν, τελεώτατα λέλυκε, κἄνπερ ἀληθὲς ἢ ψεῦδος ἐπιχειρῇ συνάγειν. ἴσως δὲ καὶ τοῦτο ἐπ’ ἐνίων οὐδὲν κωλύει συμβαίνειν· ἐν πλείστοις γὰρ ἤρκεσε τὸ συναγαγεῖν τὸ ἀδύνατον, πλὴν ἐπὶ τῶν Ζήνωνος λόγων δεῖ καὶ παρ’ ὅθεν εἰπεῖν. μεταφέροντες δὲ καὶ ἐπὶ τῶν προκειμένων λέγομεν ὡς ἐπ’ ἄλλων μὲν τοῦτο ἀληθεῦον δόξειεν ἂν τὸ κατ’ ἄλλο μὲν εἰδέναι κατ’ ἄλλο δὲ ἀγνοεῖν, οἷον τόδε ὅτι μὲν λευκὸν εἰδέναι, ὅτι δὲ μουσι κὸν μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γνωρίζειν, καὶ μὴ κατὰ ταὐτό· ἐπὶ δὲ τοῦ προσιόντος Κορίσκου οὔ· τό τε γὰρ προσιὸν οἶδεν ὅτι πρόσεισι καὶ τὸν Κορίσκον, εἰ καὶ μὴ ταὐτὰ μηδ' ὡς ἕν.

116 Ὁμοίως δὲ ἁμαρτάνουσι καὶ οἱ τὸ ἕτερον σόφισμα λύοντες, τὸ συνάγον τὰ ἑκατὸν καὶ πολλὰ καὶ ὀλίγα, τῷ λέγειν ἅπας ἀριθμὸς καὶ πολὺς καὶ ὀλίγος πρὸς ἕτερον καὶ ἕτερον. δέον γὰρ λύειν καὶ ἀνθίστασθαι πρὸς τὸν ἐρίζοντα ὡς οὐκ ἀληθῶς συνεπέρανε, μᾶλλον συγχωροῦσιν. Ἔνιοι δὲ καὶ τῷ διττῷ λύουσιν ὥσπερ δὴ τὰ ὁμώνυμα. τὴν γὰρ ὅτι σός ἐστιν οὗτος πολλαπλῆν τίθενται πρότασιν· ἢ γάρ, φασίν, υἱὸς ἢ πατὴρ ἢ κτῆμα ἢ δοῦλος. ὑπόθου δὲ παρ' εἰδόσι προβαίνειν τὸ πρόβλημα. ἀλλ' εἰ μὲν παρὰ τὸ πολλαχῶς λέγεσθαι καὶ μὴ κατὰ συμβεβηκὸς ὁ τοιοῦτος ἔλεγχος ἦν, φανερὸν ὡς ἔδει τοὔνομα ἢ τὸν λόγον πλείονα σημαίνειν· οὕτω γὰρ εἶχεν ἐπὶ τῶν ὁμωνύμων. νυνὶ δὲ οὐχ οὕτω· τὸ γὰρ εἶναι τόνδε τοῦδε τέκνον ὄντα δοῦλον οὐ διὰ τὸ πολύσημον, ἀλλὰ παρὰ τὴν τοιάνδε συμπέπτωκεν ἀγωγὴν τοῦ σοφίσματος, οἷον 'ἆρ' ἐστὶ τοῦτο σόν;' ναί. 'ἔστι δὲ τοῦτο τέκνον;' ναί. 'σὸν ἄρα τοῦτο τέκνον.' οὐκ ἔστι δέ· συμβέβηκε γὰρ εἶναι καὶ σὸν καὶ τέκνον, ἀλλ' οὐ σὸν τέκνον. Παραπλήσιον κἀκεῖνο τὸ συνάγον τῶν κακῶν τι εἶναι ἀγαθόν· ἡ γὰρ φρόνησίς ἐστιν ἐπιστήμη τῶν κακῶν τῷ τὸν φρόνιμον ἐπίστασθαι καὶ τὰ κακά.

117 οὔκουν εἴ τις τὸ τοῦτο τούτων εἶ ναι ἢ τὸ οὗτος τούτου πολλαχῶς λέγεσθαι θείη, ** ὅτι καὶ ὁ λόγος ὁ τὸν ἄνθρωπον εἶναι τῶν ζώων λέγων ἕν τι δηλοῖ, ὅτι ζῶον ἀλλ' οὐ κτῆμα, ὅ τε τὸν Πειραιᾶ τυχὸν ἢ Τάναγραν τῶν Ἀθηναίων λέγων οὐ πολλὰ σημαίνει, ἀλλ' ὅτι κτῆμα. οὕτως οὐδ' ὃς τὴν φρόνησιν τῶν κακῶν εἴποι, πολλὰ σημαίνει ἀλλ' ὅτι ἐπιστήμη. ἐπεὶ δὲ μεγάλην διαφορὰν πρὸς τὰ σημαινόμενα κἀν ταῖς συντάξεσιν αἱ ἀποδόσεις τῶν πτώσεων φέρουσι, φθάνομεν δὲ πρὸς γενικὴν ἀποδεδωκέναι τὴν φρόνησιν τῶν κακῶν αὐτὴν φάμενοι, ὁ παρὰ τὸ πῆ καὶ ἁπλῶς ἀνέκυψε παραλογισμός· πῆ γὰρ δεδωκότων καὶ ὡς ἐπιστήμην ἁπλῶς τοῖς κακοῖς συνέταξαν. καὶ ἐνταῦθα μὲν πάνυ ἐξίτηλον τὸ τοῦ παραλογισμοῦ φάντασμα, ἐν ἑτέροις δὲ ἴσως ἐνδέχεταί τι ἀγαθὸν τῶν κακῶν εἶναι. ἡ γὰρ ἀνδρεία καλὸν μὲν ὡς εὐκλείας ποιητική, δοκεῖ δέ τισι κακὸν διὰ τὰς ἐν πολέμῳ πληγάς. καὶ ἔτι μᾶλλον ἡ τῆς διττότητος ἐμφάνισις ἐπ' ἐκείνου τοῦ ἀμφιβόλου τοῦ δοῦλον ἀγαθὸν μοχθηροῦ. τὸ γὰρ ἀγαθὸν ἢ ὡς ὄνομα ἐκλήψῃ κύριον ἢ ἐπὶ τρόπου θείης, καὶ τὸ μοχθηροῦ ὡσαύτως ἢ δεσπότου μοχθηροῦ ἢ τρόπου. ἴσως δέ σοι ἀκριβῶς σκεπτομένῳ οὐδ' ἐνταῦθα ἡ διπλόη φανήσεται· οὐ γὰρ εἰ ἀγαθὸν καὶ τούτου, ἀγαθὸν τούτου ἅμα· δοῦλος γὰρ ὢν ἀγαθὸς μοχθηροῦ δεσπότου δηλαδή, ἀλλ' οὐ τρόπου πονηροῦ· πρὸς γὰρ τὸν δεσπότην ὁ δοῦλος λέγεται. τὸ δὲ ἀγαθὸς ἀποκοπὲν καθ' αὑτὸ πρὸς οὐδὲν ἀλλ' ἢ ὡς ποιὸν νοεῖται.

118 ὥστ' οὐδὲ τὸ τὸν ἄνθρωπον φάναι τῶν ζώων εἶναι λέγεται πολλαχῶς, ἢ τὴν φρόνησιν τῶν κακῶν, ἢ κοινότερον εἰπεῖν τὸ τοῦτο τούτων· οὐ γὰρ εἴ ποτέ τι σημαίνομεν ἀφελόντες, τοῦτο πολλαχῶς λέγεται. οὐ γὰρ πᾶν τὸ καθ' αὑτὸ ἀποληφθὲν καὶ ὡρισμένον καὶ γνώριμον καὶ τούτου ἢ τούτων λεγόμενον πολλὰ σημαίνει. εἰ γὰρ τοῦτο ἦν, ἐπειδὴ τὸ 'μῆνιν ἄειδε θεά' ἀφελόντες ὡρισμένως οἴδαμεν, ὅτι ἥμισυ στίχου ἐστὶ καὶ οὐ τῆς Ἰλιάδος, ὁ λέγων ὅτι δός μοι τὸ 'μῆνιν ἄειδε θεά' τὸ ἥμισυ τούτου τοῦ ἔπους διττὸς ἂν ἦν λέγων καὶ ἐσήμαινε τό τε ἥμισυ τῆς Ἰλιάδος καὶ τοῦ στίχου. ἀλλὰ μὴν οὐ διττός· καθ' αὑτὸ γὰρ ληφθὲν δῆλον γέγονεν τίνος ἐστὶν ἥμισυ· ἔστι δὲ μεταλαμβανόμενα τὸ μὲν ἥμισυ τοῦτο, τὸ δὲ τοῦ ἔπους τούτου. κατὰ ταὐτὰ μέντοι οὐδ' ὁ λέγων 'ἆρα ὅδε σός;' ἐστὶ λόγος διττός· δῆλον γάρ ἐστιν ὅπως οὗτος τούτου ἐστίν· ὁ γὰρ τὸν Πλάτωνα καὶ Ἀρίστωνα καθ' αὑτοὺς λαβὼν καὶ ἐρωτῶν 'ἆρά γε οὗτος τούτου ἐστί;' ταὐτὸν λέγει 〈τῷ〉 'ἆρα ὁ Πλάτων υἱὸς Ἀρίστωνος;' καὶ 〈οὐ〉 διπλοῦν ἐνταῦθα τὸ ἐρώτημα διὰ τὸ τὰ ληφθέντα γνώριμα τυγχάνειν, ὅπως ἀλλήλων εἰσίν. Τοὺς δὲ παρὰ τὸ ἁπλῶς ἢ μὴ ἁπλῶς παραλογισμοὺς λυτέον σκοποῦντι τὸ συμπέρασμα πρὸς τὴν ἀντίφασιν, εἰ ἐνδέχεται τούτων τι πεπονθέναι. τὰ γὰρ ἐναντία καὶ τὰ ἀντικείμενα καὶ ἀπόφασιν καὶ φάσιν ἁπλῶς μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδύνατον ὑπάρχειν τῷ αὐτῷ· πῇ μέντοι ἑκάτερον ἢ ποῦ ἢ πῶς, ἢ τὸ μὲν πῇ τὸ δὲ ἁπλῶς, οὐδὲν κωλύει.

119 ὥστ’ εἰ τόδε μὲν ἁπλῶς τόδε δὲ πῇ, οὔπω ἔλεγχος, ὥσπερ ὁ Αἰθίοψ καὶ λευκὸς καὶ μέλας, τὸ μὲν ἁπλῶς καὶ κατὰ τὴν ἐπιφάνειαν, τὸ δὲ πῇ καὶ κατὰ τοὺς ὀδόντας. τό τε τοὺς γονεῖς θύειν καλόν που ἢ ἔν τισιν (ἐν Τριβαλλοῖς γάρ), οὐχ ἁπλῶς δέ. καὶ ἡ νόσος ἀγαθὸν καὶ κακόν, τὸ μὲν πρὸς τὸν ἐπιεικῆ, τὸ δὲ πρὸς τὸν κακοῦργον. Καὶ ἔτι οἱ τοιοίδε λόγοι τοῦτ’ ἔχουσιν. ‘ἆρ’ ἐνδέχεται τὸ μὴ ὂν εἶναι;‘ οὔ. ‘τί δέ, οὐ δοξαστόν ἐστιν; ἔστιν ἄρα τὸ μὴ ὄν.‘ ὁμοίως δὲ καὶ τὸ ὂν οὐκ ἔσται· οὐ γάρ ἐστί τι τῶν ὄντων. ἄμφω δὲ ψευδῆ. οὔτε γὰρ ἁπλῶς ὂν τὸ μὴ ὄν, ἀλλ’ ὡς δοξαστὸν τῷ ὄντι προσήρτηται, οὔτ’ εἰ μὴ βοῦς ἢ ἵππος ἢ ἄλλο τι τῶν εἰδῶν, αὐτὸ τὸ ὂν ἤδη καὶ ἁπλῶς οὐκ ὄν, ἀλλὰ πῇ. πάλιν ‘ἆρ’ ἐνδέχεται τὸν αὐτὸν ἅμα ἐπιορκεῖν καὶ εὐορκεῖν;‘ οὔ. ‘τί δέ; ὁ ὀμόσας ἐπιορκήσειν καὶ ἐπιορκήσας οὐκ εὐώρκησεν;‘ ὡσαύτως ‘ἆρ’ ἐνδέχεται τὸν αὐτὸν ἅμα πείθεσθαι καὶ ἀπειθεῖν;‘ ἀλλ’ οὔτε ἁπλῶς ὁ ἐπιορκῶν εὐορκεῖ, ἀλλὰ κατά τι καὶ πῇ, οὐδ’ ὁ ἀπειθῶν πείθεται ἀλλὰ τὶ πείθεται. ὅμοιος δὲ ὁ λόγος καὶ περὶ τοῦ ψεύδεσθαι τὸν αὐτὸν ἅμα καὶ ἀληθεύειν, οἷον ὁ Δίων λέγει τὸν ὀφθαλμὸν καὶ λευκὸν καὶ μέλανα, τοῦτο δὲ καὶ ψευδὲς καὶ ἀληθές· οὔτε γὰρ ἅπας λευκὸς οὔθ’ ἅπας μέλας. πάλιν ‘ἐγὼ ψευδόμενος λέγω ἀλη θῆ λόγον, ὅτι ἐγὼ ψεύδομαι;‘ ἅμα γάρ, εἰ καὶ μὴ πρὸς τὸ αὐτό, καὶ ἀληθεύω καὶ ψεύδομαι.

120 καὶ διὰ τὸ μὴ εἶναι εὐθεώρητον, ποτέρως ἄν τις ἀποδοίη τὸ ἁπλῶς ἀληθεύειν ἢ ψεύδεσθαι, καὶ μάλιστα ἐν οἷς τὰ ἀντικείμενα ὁμοίως ὑπάρχει, ὡς ἐπὶ τοῦ ὀφθαλμοῦ, διελέσθαι δύσκολον φαίνεται. κωλύει δὲ αὐτὸν οὐδὲν ἁπλῶς μὲν εἶναι ψευδῆ, πῇ δὲ ἀληθῆ ἢ τινός, ἢ εἶναι ἀληθῆ τινά, ἀληθῆ δὲ μή. ὁμοίως δὲ ἐπὶ τῶν πρός τι καὶ ποῦ καὶ ποτέ· πάντες γὰρ οἱ τοιοῦτοι λόγοι παρὰ τοῦτο συμβαίνουσιν, οἷον ‘ἆρ’ ὑγεία καὶ ὁ πλοῦτος τό τ’ ἐν πόλει δύνασθαι οὐκ ἀγαθά;‘ ναί. ‘ἀλλ’ ἔστιν ὅτε οὐ βέλτιον τῷ ἀδίκως πολιτευομένῳ. τὰ αὐτὰ ἄρα ἀγαθὰ καὶ κακά.‘ ἀλλ’ οὐ πρὸς τοὺς αὐτούς· οὐδὲν γὰρ κωλύει ἁπλῶς ὂν ἀγαθὸν τῷδε μὴ εἶναι, καὶ τῷδε μὲν ἀλλ’ οὐ νῦν, οὐδ’ ὧδε. πάλιν ‘ἆρ’ ὃ μὴ βούλοιτ’ ἂν ὁ φρόνιμος, κακόν;‘ ναί. ‘ἀποβαλεῖν δ’ οὐ βούλεται τὸ ἀγαθόν· κακὸν ἄρα τὸ ἀγαθόν.‘ ἢ οὐ ταὐτὸν εἰπεῖν τὸ ἀγαθὸν εἶναι κακὸν καὶ τὸ ἀποβαλεῖν τὸ ἀγαθόν· εἰ δὲ μὴ τοῦτο, οὐδὲ τὸ ἀγαθὸν λέγειν κακὸν συλλελόγισται. ὅμοιος δὲ καὶ ὁ τοῦ κλέπτου λόγος τῷ βούλεσθαι τὰ ἀλλότρια λάθρα λαμβάνειν, τὸ δὲ κακόν, ὥστε βούλεταί τις τὸ ἑαυτοῦ κακόν, ὅπερ οὐ δέδοται· πᾶσα γὰρ βούλησις καὶ ἔφεσις ἀγαθοῦ. ἢ οὐχὶ εἰ κακόν ἐστιν ὁ κλέπτης, καὶ τὸ λαβεῖν ἐστι κακόν. οὔκουν τὸ κακὸν βούλεται ἀλλὰ τὸ ἀγαθόν.

121 οὗ γὰρ ἐφίεταί τις, ὡς ἀγαθοῦ ἐφίεται, κἂν κακὸν ᾖ, ὥστε τὸ λαβεῖν αὐτῷ ἀγαθόν. καὶ τὸ νοσεῖν μὲν κακόν, ἀποβαλεῖν δὲ νόσον ἀγαθόν. πάλιν ‘πότερον τὸ δίκαιον τοῦ ἀδίκου καὶ τὸ δικαίως τοῦ ἀδίκως αἱρετώτερον;‘ ναί. ‘ἀλλ’ ἀποθανεῖν ἀδίκως αἱρετώτερον ἢ δικαίως. ἀδίκως μὲν γὰρ Σωκράτης τέθνηκε, δικαίως δὲ λῃσταὶ καὶ τυμβωρύχοι· τὸ ἀδίκως ἄρα τοῦ δικαίως καὶ τοῦ δικαίου τὸ ἄδικον αἱρετώτερον.‘ ἀλλ’ οὐχὶ εἰ παθεῖν τι ἀδίκως αἱρετόν, καὶ καθάπαξ τὸ ἀδίκως αἱρετώτερον τοῦ δικαίως· ἀλλ’ ἁπλῶς μὲν τὸ δικαίως, τοδὶ μέντοι καὶ πῇ οὐδὲν κωλύει ἀδίκως μᾶλλον ἢ δικαίως. πάλιν ‘ἐπεὶ τὸ δίκαιον τριττόν, φύσει, νόμῳ καὶ τὸ κατὰ κρίσιν προβαῖνον τῶν δικαστῶν, τὸ λαβεῖν τινα ἀλλότρια χρήματα ψήφῳ δικαστῶν δίκαιόν ἐστιν. ἃ γὰρ ἄν τις κρίνοι τῶν δικαστῶν, κἂν ψευδῆ ᾖ, κατὰ δόξαν τὴν αὐτοῦ δίκαιά ἐστι διὰ τὸν Ἀθήνησι νόμον τὸν τὸ δοκοῦν τοῖς δικασταῖς ἡγούμενον κύριον. ἀλλὰ μὴν τοῦτο νόμῳ καὶ φύσει ἄδικον· τὸ αὐτὸ ἄρα δίκαιον καὶ ἄδικον.‘ ἢ τὸ ἔχειν τινὰ τὰ ἑαυτοῦ δίκαιον, τὸ δὲ τὰ ἀλλότρια οὐ δίκαιον· κρίσιν μέντοι τοιαύτην εἶναι οὐδὲν κωλύει, οἷον ἂν ᾖ κατὰ δόξαν τοῦ κρίναντος, ὡς εἴρηται. οὐ γὰρ εἰ δίκαιον τοδὶ ἢ ὡδί, καὶ ἁπλῶς δίκαιον. πάλιν ‘πότερον δεῖ κατακρίνειν τὸν τὰ δίκαια λέγοντα ἢ τὸν τὰ ἄδικα;‘ τὸν τὰ ἄδικα. ‘ἀλλὰ μὴν καὶ τὸν ἀδικούμενον δίκαιόν ἐστιν ἱκανῶς λέγειν ἃ ἔπαθεν, ὕβρεις καὶ πληγάς· ταῦτα δ’ ἦν ἄδικα.‘ ἢ οὐδὲν κωλύει λέγειν γε αὐτὰ δίκαιον εἶναι, ἄλλως δ’ οὔ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

122 οὐ γὰρ εἰ λέγειν δίκαιον, ἀνάγκη δίκαια εἶναι, ὥσπερ οὐδ’ εἰ ὠφέλιμον λέγειν καὶ διδάσκειν περὶ νόσων καὶ δηλητηρίων, ἤδη καὶ ταῦτα ὠφέλιμα. ὁμοίως δὲ καὶ ἐπὶ τῶν δικαίων· οὐ γὰρ εἰ ὁ ὑβρίσας λέγει μὴ ὑβρικέναι, τοῦτο δὲ δίκαιον, ἀνάγκη αὐτὸν καὶ δίκαια λέγειν ψευδόμενον. ὥστ’ οὐδ’ ὁ παθὼν εἰ λέγων ἃ ἔπαθεν ἄδικα νικᾷ, ἤδη καὶ πᾶς ὁ ἄδικα λέγων νικᾷ· λέγει γὰρ ἃ λέγειν ἐστὶ δίκαια, ἁπλῶς δὲ καὶ παθεῖν ἄδικα. Τοῖς δὲ παρὰ τὸν ὁρισμὸν γινομένοις τοῦ ἐλέγχου, καθάπερ ὑπεγράφη πρότερον, ἀπαντητέον σκοποῦσι τὸ συμπέρασμα τὸ πρὸς τὴν ἀντίφασιν, ὅπως ἔσται, εἰ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ χρόνῳ. ἐὰν γὰρ ἐν ἀρχῇ σέ τις προσέρηται, ‘ἆρά γε ἀδύνατον τὸ αὐτὸ εἶναι διπλάσιον καὶ μὴ διπλάσιον;‘ οὐχ ὁμολογητέον ὡς ἀδύνατον, ἀλλὰ συνθετέον, μὴ μέντοι ὡδὶ μηδὲ πρὸς τὸ αὐτό (τοῦτο γάρ ἐστιν ὁ κυρίως ἔλεγχος, ὅπερ εὐλαβητέον), ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο. εἰσὶ δὲ πάντες οἵδ’ οἱ λόγοι παρὰ τὸ τοιοῦτον εἶδος τῶν παραλογισμῶν· ‘ἆρ’ ὁ εἰδὼς ἕκαστον ὅτι ἕκαστον οἶδε τὸ πρᾶγμα, καὶ ὁ ἀγνοῶν ὡσαύτως;‘ ναί. ‘εἰδὼς δέ τις τὸν Κορίσκον ὅτι Κορίσκος, ἀγνοεῖ ὅτι μουσικός· ὥστε τὸ αὐτὸ ἐπί σταται καὶ ἀγνοεῖ.

123 ‘ ἀλλ’ οὐ κατὰ ταὐτό. πάλιν ‘ἆρα τὸ τετράπηχυ τοῦ τριπήχεος μεῖζον;‘ ναί. ‘γένοιτο δ’ ἄν τι ἐκ τριπήχεος τετράπηχυ κατὰ τὸ μῆκος· τὸ δὲ μεῖζον ἐλάττονος μεῖζον· αὐτὸ ἄρα αὑτοῦ κατὰ ταὐτὸ μεῖζον καὶ ἔλαττον.‘ ἀλλ’ οὐχ ἅμα οὐδ’ ὡσαύτως, ἀλλὰ τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ. Τοὺς δὲ παρὰ τὸ αἰτεῖσθαι καὶ λαμβάνειν τὸ ἐν ἀρχῇ πυνθανομένῳ μέν, ἂν ᾖ δῆλον, οὐ δοτέον, οὐδ’ ἂν ἔνδοξον ᾖ, λέγοντα τἀληθές, οἷον εἰ δέοι λαβεῖν ἄψυχόν τι ζῶον καὶ ἐρωτᾷ, εἰ τὸ βιβλίον διδάσκει, οὐ δεῖ σε συγχωρεῖν τὴν ἀρχήν· λαβὼν γὰρ συμπερανεῖ, εἴπερ τὸ διδάσκον ἔμψυχον καὶ ἄνθρωπος· ἢ ἡ ψυχὴ ἀθάνατος, ὅτι ἄφθαρτος. ἀλλ’ εἰ μὲν ᾖ δῆλον, οὕτως ἀποκρίνεσθαι χρή· ἂν δὲ λαβὼν τὸ ἐν ἀρχῇ συλλογίσηται τὴν ἀντίφασιν διὰ τὴν μοχθηρίαν τῶν τοιούτων λόγων, εἰς τὸν ἐρωτῶντα μεταστρεπτέον τὴν μέμψιν ὡς οὐ καλῶς διειλεγμένον· ὁ γὰρ ἔλεγχος ἄνευ τοῦ ἐξ ἀρχῆς. ἔτι ῥητέον ὡς δέδοται οὐχ ὡς τούτῳ χρησομένου, ἀλλ’ ὡς πρὸς τοῦτο συλλογιουμένου τοὐναντίον ἢ ἐπὶ τῶν παρεξελέγχων ἔχει. Καὶ τοὺς διὰ τοῦ παρεπομένου συμβιβάζοντας ἐπ’ αὐτοῦ τοῦ λόγου δεικτέον, ὡς παρὰ τὸ τὰ μὴ ἀντιστρέφοντα ὡς ἀντιστρέφοντα λαμβάνειν τὸ σόφισμα προβέβηκεν· οὐ γὰρ εἰ τόδε τῷδε ἕπεται, καὶ τῷδε τόδε ἕπεσθαι ἀνάγκη.

124 ἔστι δὲ διττὴ τῶν ἑπομένων ἡ ἀκολούθησις. ἢ γὰρ ὡς ἐν τῷ μέρει τὸ καθόλου, οἷον ἀνθρώπῳ ζῶον, ἢ κατὰ τὰς ἀντιθέσεις, ὡς εἴρηται· εἰ γὰρ τόδε τῷδε ἀκολουθεῖ, καὶ τῷ ἀντικειμένῳ τὸ ἀντικείμενον, οἷον εἰ τὸ πῦρ θερμόν, τὸ μὴ θερμὸν οὐδὲ πῦρ. παρ’ ὃ καὶ τὸν τοῦ Μελίσσου λόγον εὐθύνομεν ἁμαρτάνοντα· εἰ γὰρ τὸ γεγονὸς ἔχει ἀρχήν, φησί, τὸ ἀγένητον οὐχ ἕξει· ὥστ’ εἰ ἀγένητος ὁ οὐρανός, καὶ ἄπειρος. τὸ δ’ οὐκ ἔστιν· ἀνάπαλιν γὰρ ἐχρῆν οὑτωσί πως ‘εἰ τὸ γεγονὸς ἀρχὴν ἔχει, τὸ μὴ ἀρχὴν ἔχον οὐδὲ γέγονεν.‘ Ὅσοι τε παρὰ τὸ προστιθέναι τι συλλογίζονται, οὓς καὶ μὴ παρὰ τοῦτο προσονομάζομεν, σκοπεῖν δεῖ εἰ ἀφαιρουμένου συμβαίνει μηδὲν ἧττον τὸ ἀδύνατον, κἄπειτα τοῦτο ἐμφανιστέον καὶ λεκτέον, ὡς ἔδωκα οὐχ ὡς δοκοῦν ἀλλ’ ὡς πρὸς τὸν λόγον καὶ τῷ μὴ δόξαι δυσκολαίνειν, καὶ πρὸς τούτοις οὐδὲ συντελεῖ τι πρὸς τὸν λόγον· οὐ γὰρ παρὰ τοῦτο ὁ ἔλεγχος. Πρὸς δὲ τοὺς τὰ πλείω ἐρωτήματα ἓν ποιοῦντας εὐθὺς ἐν ἀρχῇ διοριστέον. ἐρώτησις γὰρ μία πρὸς ἣν μία ἀπόκρισίς ἐστιν, ὥστε οὔτε πλείω καθ’ ἑνὸς οὔτε ἓν κατὰ πολλῶν ἀλλ’ ἓν καθ’ ἑνὸς φατέον ἢ ἀποφατέον, ὥσπερ δὴ καὶ ἐπὶ τῶν ὁμωνύμων ἐσημειούμεθα. καίτοι κἀκεῖ ποτὲ ἀμφοῖν ποτὲ δ’ οὐδετέρῳ ὑπῆρχε· τὸ μὲν γὰρ ἐπὶ Τροίαν στρατεῦσαι καὶ ἀμφοτέροις τοῖς Αἴασι, τὸ δὲ μονομαχῆσαι Θερσίτῃ οὐδενί· ὥστε συμβαίη κἀνταῦθα πολλάκις καὶ μὴ ἁπλοῦ ὄντος τοῦ ἐρωτήματος τοῖς ἁπλῶς ἀποκρινομένοις μηδὲν ἀπαντᾶν ἐκ τοῦ παραυτίκα ὑπεναντίωμα, καίπερ ἄλλως ἐκκλίνουσι τὴν παράδοσιν καὶ τὰ προδιωρισμένα ἡμῖν.

125

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅταν μὲν γὰρ ἢ ἓν κατὰ πολλῶν ἢ πολλὰ καθ’ ἑνὸς ἀληθῶς ἔστι κατηγορεῖν, τῷ ἁπλῶς δόντι τὸ ναὶ ἢ τὸ οὒ ὁ λόγος εὐώδωται (οὐ γὰρ ἐλέγχεται τό γε), πλὴν ὅσον οὐ διαλεκτικῶς· ὅταν δὲ τὸ κατὰ πολλῶν ἓν τῷ μὲν ὑπάρχῃ τῷ δὲ μή, ἢ πλείω κατὰ πλειόνων, καὶ τὰ μὲν τοῖσδε τὰ δὲ τοῖσδε, ἀμφότερα δὲ ἀμφοτέροις οὐχ ὑπάρχῃ, τότε δὴ εὐλαβητέον τὴν προχείρως ἀπόκρισιν καὶ τὴν ἁπλῶς καὶ ἀνενδοίαστον τοῦ ναὶ ἢ τοῦ οὒ πρόεσιν. παραδείγματα δὲ οἱ τοιοίδε λόγοι· τὸ γὰρ μονομαχῆσαι τῷ μὲν τῶν Αἰάντων τῷ δ’ οὔ· καὶ τὸ μέν ἐστιν ἀγαθὸν τὸ δὲ κακόν, οἷον ἀνδρεία καὶ δειλία· τῷ ἐρωτῶντι πότερον ἡ ἀνδρεία καὶ δειλία ἀγαθὸν ἢ κακόν, καὶ ἄμφω δοῦναι ἀληθὲς καὶ οὐδέτερον· τὸ ἓν δὲ κατ’ ἀμφοτέρων ἢ τὰ δύο καθ’ ἑνὸς καταφῆσαι ἢ ἀποφῆσαι ψεῦδος· οὐ γάρ ἐστιν ἑκατέρου ἑκάτερον, οὐδὲ ἡ ἀνδρεία τῇ δειλίᾳ ταυτίζεται, ἵν’ ἁπλοῦν ᾖ τὸ ἀγαθὸν ἢ κακὸν εἰσάπαξ καταφασκόμενον ἢ ἀποφασκόμενον. νυνὶ δὲ τῷ ἕτερα εἶναι, ὡς περὶ ἑνὸς δὲ κατηγορεῖν τὰ διάφορα τὸ ἄτοπον ἕπεται· τὸ γὰρ αὐτὸ ἀγαθὸν καὶ κακὸν γίνεται καὶ αὖ οὔτ’ ἀγαθὸν οὔτε κακὸν τῇ μεταμείψει τῶν κατηγορημάτων καὶ περιχωρήσει πρὸς ἄλληλα. [15]

126 ἔτι ἐπεὶ ἕκαστον τῶν ὄντων αὐτὸ ἑαυτῷ ταὐτόν, ἄλλου δὲ ἕτερον, ἡ ἀνδρεία αὐτὴ ἑαυτῇ ταὐτὸν οὖσα ἔσται καὶ ἕτερον ἑαυτῆς, εἴπερ καὶ ἀγαθὸν καὶ κακὸν κατὰ τὴν ὑπόθεσιν, ταῦτα δὲ ἀλλήλων ἕτερα. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ δειλίας. ἔτι εἰ τὸ μὲν ἀγαθὸν κακὸν οὐ γίνεται σῶζον τὴν φύσιν, οὔτ’ αὖ τὸ ἔμπαλιν, ἐνταῦθα δὲ τὸ κακὸν καὶ ἀγαθόν ἐστι, δύο τὸ ἓν γένοιτ’ ἄν· ἡ γὰρ δειλία κακὸν καὶ ἀγαθόν, τὸ μὲν τῇ φύσει τὸ δὲ τῇ κατηγορίᾳ. καὶ ἐπ’ ἀνδρείας ὁμοίως πλὴν ἀντικειμένως. διπλᾶ γοῦν ἀνθ’ ἁπλῶν ἀμφότερα ἔσται. ἔτι εἰ περὶ δύο μεγεθῶν ἀνίσων ὁ λόγος εἴη, ἐρωτῴη δέ τις πότερον τὸ δίπηχυ καὶ τὸ τρίπηχυ ἴσα ἐστὶν ἢ ἄνισα, τῷ ἁπλῶς δόντι τὸ τῆς ἀντιφάσεως ἕτερον συμβαίνει ἐξ ἀνάγκης ψεύδεσθαι· ἴσα 〈γὰρ〉 ταυτὶ καὶ ἄνισα, τὸ μὲν ἑαυτοῖς τὸ δὲ πρὸς ἄλληλα. Ἐμπεσοῦνται μέντοι τὰ εἰρημένα, εἴ τις προσβιβάζει, καὶ εἰς ἑτέρας λύσεις. ἕλξοι γὰρ ἄν τις καὶ πρὸς τὴν ἀμφιβολίαν, καὶ κατὰ τὰς ἐκεῖ διορθώσεις ἐξετασθήσονται· τὸ γὰρ ἄμφω καὶ τὸ ἅπαντα ἴσως πλείω σημαίνει. οὔκουν οὐδὲ ἐν τούτοις τὸ αὐτὸ συμβαίνει φῆσαι καὶ ἀποφῆσαι πρᾶγμα, ἀλλὰ μόνον ὄνομα· τοῦτο δ’ οὐκ ἦν ἔλεγχος. καὶ φανερὸν ὅτι μὴ μιᾶς ἐρωτήσεως τῶν πλειόνων γινομένων ἀλλ’ ἓν καθ’ ἑνὸς φάντος ἢ ἀποφάντος οὐκ ἔσται τι ἀδύνατον. Καὶ τὰ μὲν περὶ τῶν ἐλέγχων πεπέρανται, καὶ περὶ τοῦ παράδοξα λέγειν ἱκανῶς ἐν τοῖς οἰκείοις εἴρηται τόποις· περὶ δὲ τῶν ἀπαγόντων εἰς τὸ τὸ αὐτὸ πολλάκις λέγειν, ὃ καὶ ἀδολεσχεῖν ἐκαλοῦμεν καὶ τρίτον εἶδος τῆς σοφιστικῆς πραγματείας ἐτίθεμεν, φανερὸν ὅπως λυτέον. [15]

127 ἐπεὶ γὰρ ὡς ἐπὶ πολὺ ἀπὸ τῶν πρός τι προὔβαινεν, οὐ δοτέον τῶν πρός τι λεγομένων αὐτὸ καθ’ αὑτὸ σημαίνειν τι ἐνεργείᾳ ἄνευ τοῦ συζύγου καὶ πρὸς ὃ λέγεται, ὥσπερ εἴρηται, οὐδ’ ὅλως τὰς κατηγορίας χωριζομένας καθ’ αὑτάς· τὸ μὲν γὰρ λέγειν διπλάσιον ἡμίσεος καὶ λέξει καὶ νοήματι τέλειον, τὸ δ’ ἁπλῶς διπλάσιον οὐδὲν σημαίνει. εἰ γὰρ καὶ ἐμφαίνεταί πως συνεπινοούμενον ἐν τῷ διπλασίῳ τὸ ἥμισυ, ἀλλ’ οὖν οὐχ ὅμοιον τό τε κεῖσθαι ἐνεργείᾳ καὶ τὸ νοεῖσθαι δυνάμει. καὶ γὰρ τὰ δέκα ἐν τοῖς ἑνὸς δέουσι δέκα ἐμφαίνεται καὶ συνεπινοεῖται καὶ τὸ ποιῆσαι ἐν τῷ μὴ ποιῆσαι καὶ ὅλως ἐν τῇ ἀποφάσει ἡ φάσις· ἀλλ’ ὅμως οὔτε τὰ ἐννέα δέκα ἢ ὅλως τὰ οὐ δέκα δέκα, ὥσπερ οὐδ’ οὐκ ἄνθρωπος ἄνθρωπος, ἢ λευκὸν τὸ μὴ λευκόν, κἄνπερ αἱ ἕξεις ἐν ταῖς στερήσεσι καὶ αἱ καταφάσεις ἐν ταῖς ἀποφάσεσιν· οὔτε τὸ διπλάσιον ἕξει καθάπαξ καὶ τὸ ἥμισυ, ὡς μηδὲν διαφέρειν προσκεῖσθαι ἢ ἐλλείπειν, ἀλλὰ διοίσει τῷ παντὶ καὶ τῷ ὅλῳ. οὐδὲν γὰρ ἴσως αὐτὸ καθ’ αὑτὸ σημαίνει, ὥσπερ οὐδὲ τὸ ἥμισυ κεχωρισμένον. εἰ δ’ ἄρα τι καὶ σημαίνει ἑκάτερον ἰδίως, ἀλλ’ οὐ ταὐτόν, ὥσπερ ὅταν ᾖ συνημμένον· ὡς γὰρ ἡ ἐπιστήμη πρός τι οὖσα οὐ σημαίνεται ἐν τῷ εἴδει μὴ προσκειμένη, οἷον ἐν τῇ ἰατρικῇ (καίτοι τὰ γένη ἐν τοῖς εἴδεσιν εἶναι δοκεῖ), τῷ τὴν μὲν τινὸς λέγεσθαι (τοῦ γὰρ ἐπιστητοῦ), τὰς δὲ κατὰ μέρος οὔ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω τοι καὶ ὁ διπλάσιον εἰπὼν ἢ μεῖζον ἢ μέγα ἢ ἕτερόν τι τῶν πρός τι οὐ λέγει καὶ τὸ ἀντικείμενον ἀποχρώντως.

128 καὶ τὴν μὲν φαινομένην ἐκ τῶν πρός τι ἀδολεσχίαν οὕτω λύσομεν· τὴν δὲ ἐφ’ ὧν τὸ ὑποκείμενον εἰς τὸν ὁρισμὸν τοῦ κατηγορουμένου λαμβάνεται, ὥσπερ λέγομεν σιμότης κοιλότης ἐν ῥινί, τοῦτο λεκτέον ὡς οὐ τὸ αὐτὸ σημαίνει κἀνταῦθα χωρὶς λεγόμενον καὶ ἐν τῷ λόγῳ. τὸ γὰρ κοῖλον κοινῇ μὲν καὶ ἀδιορίστως οὐ μᾶλλον τὸ σιμὸν ἢ τὸ ῥαιβὸν δηλοῖ, προστιθέμενον δὲ τῇ ῥινὶ ἢ τῷ σκέλει οὐδὲν κωλύει ὡρισμένως τὸ σιμὸν σημαίνειν ἢ τὸ ῥαιβόν, καὶ διαφέρει οὐδὲν ῥὶς εἰπεῖν σιμὴ ἢ κοίλη. ἔτι οὐ δοτέον τὴν λέξιν κατ’ εὐθύ· ψεῦδος γὰρ τῷ μὴ εἶναι τὸ σιμὸν ῥῖνα κοίλην, ἀλλὰ ῥινὸς τοδὶ οἷον πάθος, ὥστε οὐδὲν ἄτοπον εἰ ἡ ῥὶς σιμὴ ῥίς ἐστιν ἔχουσα κοιλότητα ῥινός· οὐ γὰρ δὶς τὸ αὐτὸ κατὰ ταὐτὸ λέγει. Περὶ δὲ τῶν σολοικισμῶν παρ’ ὅ τι μὲν φαίνονται συμβαίνειν, εἴπομεν πρότερον· παρὰ γὰρ τὸ τόδε καὶ τοῦτο· ταῦτα γὰρ κἂν ἐπ’ εὐθείας καὶ αἰτιατικῆς ὁμοίως ληφθείη. ὡς δὲ λυτέον, ἐπ’ αὐτῶν τῶν λόγων ἔσται φανερόν. ἅπαντες γὰρ οἱ τοιοίδε λόγοι τοῦτο βούλονται κατασκευάζειν· εὐθεῖαν γὰρ ἐν ταῖς προτάσεσι δόντες αἰτιατικὴν ἐπάγουσιν ἐν τῷ συμπεράσματι ἢ τὸ ἀνάπαλιν, καὶ πρὸς τὸ λαθεῖν ὡς κἀν τοῖς ἄλλοις τῇ μεταξυλογίᾳ χρῶνται.

129 οἷον ‘πότερον ὃ λέγεις ἀληθῶς, καὶ ἔστι τοῦτο ἀληθῶς;‘ ναί. ‘φῂς δὲ εἶναί τι λίθον· ἔστιν ἄρα λίθον.‘ ἢ τὸ λέγειν λίθον οὐκ ἔστι λέγειν ὃ καὶ ἐπ’ εὐθείας, ἀλλ’ ὅν, οὐδὲ τοῦτο οὐδετέρως ἀλλὰ τοῦτον ἀρρενικῶς. εἰ δὲ μὴ διὰ μακροῦ τὴν ἀπόδοσιν ἐποιεῖτο, ἀλλ’ ἐκ τοῦ σύνεγγυς, οὐκ ἂν ἔλαθε σολοικίσας, οἷον εἰ οὕτως ἤρετο ‘ἆρ’ ὅπερ ἀληθῶς λέγεις, ἔστι τοῦτον;‘ οὐκ ἄν τις ἔδωκε διὰ τὸ εὐφώρατον· πρόδηλον γὰρ ὡς οὐχ ἑλληνίζει οὕτω λέγων, ὥσπερ κἂν εἴ τις ἔροιτο ‘ἆρ’ ἣν λέγεις εἶναι, φύσιν τυχόν, ἔστιν οὗτος; ξύλον δέ ἐστιν οὗτος· ἔστιν ἄρα ξύλον ταύτην.‘ καταφανὴς γὰρ ὁ σολοικισμὸς ἐνταῦθα τῇ τε ἐγγύτητι καὶ τῇ τῶν γενῶν ὑπαλλαγῇ καὶ τῶν πτώσεων· ὤφειλε γὰρ εἰπεῖν ‘ἔστιν ἄρα ξύλον αὕτη.‘ ἐπὶ μὲν οὖν τῶν ἀρσενικῶν καὶ θηλυκῶν πάμπολυ διέστηκε τὸ ὃ τοῦ αὕτη ἢ οὗτος, ὁμοίως δὲ καὶ τὸ τοῦτο· ἐπὶ δὲ τῶν οὐδετέρων καὶ ὅσα μήτε θῆλυ μήτε ἄρρεν σημαίνει, οὐδὲν διαφέρει. διὸ καὶ οὐ γίνεται σολοικισμὸς ἐνταῦθα διὰ τὸ ὁμοίως ἐπ’ εὐθείας καὶ αἰτιατικῆς ἐκφέρεσθαι· οἷον εἰ ἔροιτό τις ‘ἆρ’ ὃ λέγεις εἶναι ἔστι τοῦτο;‘ ναί. ‘ξύλον δὲ λέγεις εἶναι· ἔστιν ἄρα ξύλον‘ οὐδὲν ἀπαντήσει δυσχερές. καὶ αὖθις ‘ἆρ’ οὗτός ἐστιν αὕτη;‘ (ἤγουν ἡ φαινομένη θέα ὅδε ἐστίν.) ναί. ‘τί δέ; οὐχ οὗτός ἐστι Κορίσκος;‘ εἶτα συμπεραίνει ‘ἄρα οὗτος αὕτη‘· οὐ συλλελόγισται τὸν σολοικι σμόν· ἄμφω γὰρ εὐθεῖαι.

130 οὐδ’ εἰ τὸ Κορίσκος σημαίνει ὅπερ αὕτη, μὴ δίδωσι δὲ ἀποκρινόμενος, οὐ συλλελόγισται τὸν σολοικισμόν, ἀλλὰ δεῖ ἐρωτῆσαι τὸν ἀποκρινόμενον· καὶ εἰ δίδωσι, οὐ λέγεται δέ, γίνεται μὲν σολοικισμός, ἀλλ’ οὐχ ἁπλῶς ἀλλὰ πρὸς τὸν ἀποκρινόμενον· εἰ δὲ μήτ’ ἐστὶ μήτε δίδωσιν, οὐ συλλελόγισται οὔτε τῷ ὄντι οὔτε πρὸς τὸν ἐρωτώμενον. ὁμοίως οὖν δοκεῖ κἀκεῖ προσερωτηθῆναι, εἰ δίδωσι τὸν λίθον σημαίνειν οὗτος. εἰ δ’ οὖν, οὐ λεκτέον τὸ συμπέρασμα, ὡς ἄρα οὗτός ἐστι λίθον. φαίνεται μέντοι τὸ ‘οὗτος ἄρα αὕτη‘ μὴ σολοικισμὸς εἶναι διὰ τὸ τὴν ἀνόμοιον τῷ γένει πτῶσιν τοῦ ὀνόματος ὁμοίαν φαίνεσθαι· ἄμφω γὰρ εὐθεῖαι. ὅμοια τοῖς εἰρημένοις κἀκεῖνά ἐστιν ‘ἆρα ἀληθὲς εἰπεῖν ὅτι ἔστιν αὕτη, ὅπερ εἶναι φῂς αὐτήν; εἶναι δὲ φῂς ἀσπίδα· ἔστιν ἄρα αὕτη ἀσπίδα.‘ ἢ οὐκ ἀνάγκη οὕτω, εἰ μὴ ὁ ἐρωτώμενος τὸ αὕτη ἀσπίδα σημαίνειν, ἀλλὰ μὴ ἀσπὶς δέδωκεν. πάλιν ‘ἆρ’ ὃ φῂς εἶναι τοῦτον, ἔστιν οὗτος; φῂς δὲ εἶναι Κλέωνα· ἔστιν ἄρα οὗτος Κλέωνα.‘ οὐδὲ τοῦτο καλῶς· εἴρηκα γὰρ ‘ὅ φημι εἶναι τοῦτον, ἔστιν οὗτοσ‘, ἀλλ’ οὐ τοῦτον· οὐ γὰρ ἐξελληνίζει οὕτω τὸ ἐρώτημα λεχθέν ‘ἔστι τοῦτον‘. ἔτι ‘πότερον ἐπίστασαι τοῦτο; τοῦτο δέ ἐστι λίθος· ἐπίστασαι ἄρα λίθος.‘ ἢ ἐν μὲν τῷ πρώτῳ τοῦτον, ἐν δὲ τῷ ὑστέρῳ οὗτος ἐκδέδοται. πάλιν ‘ἆρ’ οὗ ἐπιστήμην ἔχεις, ἐπίστασαι τοῦτο; ἐπιστήμην δὲ ἔχεις λίθου, ἐπίστασαι ἄρα λίθου.

131

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‘ ἢ τὸ μὲν οὗ λίθου λέγει, τὸ δὲ τοῦτο λίθον· ἐδόθη δ’ οὗ ἐπιστήμην ἔχεις, ἐπίστασαι οὐ τούτου ἀλλὰ ** τοῦτον· ὥστε οὐ τοῦ λίθου ἀλλὰ τὸν λίθον. Ὅτι μὲν οὖν οἱ τοιοῦτοι τῶν λόγων οὐ συλλογίζονται σολοικισμόν, ἀλλὰ φαίνονται, καὶ διὰ τί φαίνονται καὶ πῶς ἀπαντητέον πρὸς αὐτούς, φανερὸν ἐκ τῶν εἰρημένων· ἣν γὰρ ἐν τοῖς κατὰ μέρος σολοικοφανέσι λύσιν ἐπήγομεν, ταύτῃ καὶ κοινῶς χρῆσθαι παρεγγυώμεθα. Δεῖ δὲ κατανοεῖν ὅτι πάντων τῶν σοφιστικῶν λόγων οἱ μέν εἰσι ῥᾴους κατιδεῖν παρὰ τί καὶ ἐν τίνι εἴδει τῶν παραδεδομένων τρόπων παραλογίζονται τὸν ἀκούοντα, οἱ δὲ χαλεπώτεροι τοῦτο μαθεῖν, καὶ ταῦτα πολλάκις ὄντες οἱ αὐτοὶ ἐκείνοις. τὸ γὰρ παρὰ τὸ αὐτὸ εἶδος τυχὸν τῆς ὁμωνυμίας τοὺς μὲν εὐχερὲς καὶ φωρᾶσαι καὶ λῦσαι τοὺς δὲ οὔ. καλοῦμεν δὲ λόγους τοὺς αὐτοὺς τοὺς ὑφ’ ἓν εἶδος πίπτοντας. ἔτι ὁ αὐτὸς λόγος τοῖς μὲν ἐν τοῖς παρὰ τὴν λέξιν σοφίσμασι, τοῖς δὲ ἐν τοῖς ἐκτός, ἄλλοις δὲ παρ’ ἕτερόν τι δόξειεν εἶναι, τῷ μὴ τὸ συμπέρασμα ὁμοίως εἶναι δῆλον. ὥσπερ οὖν ἐν τοῖς παρὰ τὴν ὁμωνυμίαν τὰ μὲν καὶ τοῖς τυχοῦσίν ἐστι δῆλα, τὰ δὲ καὶ τοὺς ἐμπειροτέρους διαλανθάνει, καὶ ἐν τούτοις. ἐκεῖ γὰρ οἱ λόγοι σχεδὸν οἱ γελοῖοι πάντες εἰσὶ παρὰ τὴν λέξιν, οἷον ‘ἀνὴρ ἐφέρετο κατὰ κλίμακος δίφρον·‘ ὁμώνυμον γὰρ τὸ ἐφέρε το ἢ ὅτι ἐκομίζετο ἐπὶ δίφρον ἢ ὅτι ἅρμα ἤλαυνεν.

132 ἄγεται δὲ τοῦτο καὶ πρὸς τὴν ὁμοιοσχημοσύνην, τισὶ δὲ καὶ πρὸς τὴν ἀμφιβολίαν. καὶ πάλιν ‘ὅπου στέλλεσθε; πρὸς τὴν κεραίαν.‘ τὸ δὲ στέλλεσθαι πέμπεσθαί ἐστι· πρὸς τὴν κεραίαν ἄρα πέμπεσθε. διττὸν γὰρ τὸ στέλλεσθαι τό τε πέμπεσθαι καὶ τὸ συνάγειν τὸ ἱστίον χαλώμενον ἐπὶ τὴν κεραίαν. πάλιν ‘ποτέρα τῶν βοῶν ἔμπροσθεν τέξεται; οὐδετέρα, ἀλλ’ ὄπισθεν ἄμφω.‘ καὶ ‘καθαρὸς ὁ βορέας; οὐ δῆτα· ἀπέκτεινε γὰρ τὸν πτωχὸν καὶ τὸν ὠνούμενον.‘ τό τε γὰρ ἔμπροσθεν καὶ ἐπὶ τοῦ χρόνου καὶ ἐπὶ τοῦ μέρους τοῦ σώματος λέγεται, καὶ καθαρὸν τόν τε ὑγιεινὸν καὶ τὸν ἀμόλυντον λέγομεν. καὶ ‘ἆρ’ Εὔαρχος οὗτος; οὐ δῆτα, ἀλλ’ Ἀπολλωνίδης‘ τόν τε γὰρ εὖ ἄρχοντα εὔαρχον ἔλεγον καὶ τὸν Ἀπολλωνίδην. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν ἄλλων σχεδὸν οἱ πλεῖστοι. σημεῖον δὲ τούτων καὶ ὡς λανθάνουσι καὶ τοὺς ἐπιστήμονας τῶν παρὰ τὴν ὁμωνυμίαν τινές, ὅτι μάχονται πολλάκις περὶ τῶν ὀνομάτων, οἷον πότερον ταὐτὸ σημαίνει κατὰ πάντων τὸ ὂν καὶ τὸ ἓν ἢ ἕτερον. τοῖς μὲν γὰρ δοκεῖ ταὐτὸ σημαίνειν ἄμφω, οἱ δὲ τὸν Ζήνωνος λόγον καὶ Παρμενίδου λύουσι διὰ τὸ πολλαχῶς φάναι τὸ ὂν λέγεσθαι καὶ τὸ ἕν. οὐ μόνον οὖν ἐπὶ τῶν ὁμωνύμων τοῦτο συμβαίνει, ὡς εἴρηται, ἀλλὰ καὶ ἐφ’ ἑκάστου τῶν ἄλλων· οἱ μὲν γὰρ ἔσονται ῥᾴους ἰδεῖν οἱ δὲ χαλεπώτεροι τῶν λόγων, καὶ λαβεῖν ἐν τίνι γένει καὶ πότερον ἔλεγχος ἢ οὐκ ἔλεγχος οὐ ῥᾴδιον εἰπεῖν, καὶ περὶ πάντων οὕτω. Ἔστι δὲ δριμὺς λόγος ὅστις ἀπορεῖν ποιεῖ μάλιστα· δάκνει γὰρ οὗτος μάλιστα καὶ θορυβεῖ, ὡς τὰ ἐπιχειρήματα τό τε πέμπτον καὶ τέταρτον τοῦ ἐν τῷ Περὶ ἑρμηνείας τελευταίου τμήματος καὶ ὁ ἐν τοῖς Φυσικοῖς τὸν χρόνον ἀναιρῶν λόγος δριμύτατος τῷ δεικνύειν μηδὲν τῶν μερῶν αὐτοῦ μένειν· τὸ μὲν γάρ, φησί, παρῴχηκε καὶ οὐκ ἔστι, τὸ δὲ μέλλει καὶ οὔπω, τὸ δὲ νῦν ἀμερές· ὥστ’ εἰ μὴ τῶν μερῶν τι, οὐδὲ τὸ ὅλον.

133 ἀπορία δέ ἐστι διττή, ἡ μὲν ἐν τοῖς διαλεκτικοῖς, ὅτε ἀποροῦμεν, ποίαν τῶν προτάσεων ἀναιρετέον, ὡς καὶ τὸ συναχθὲν συναναιρῆσαι ψεῦδος, καὶ εἰ ἀμφοτέρας, εἴπερ ἐπ’ ἴσης ἔνδοξοι· ἡ δὲ ἐν τοῖς ἐριστικοῖς, πῶς εἴποι τις τὸ προταθὲν καὶ ὅπως φυλάξεται τὸν ὀχλοῦντα σοφιστήν. παράδειγμα τοῦ μὲν προτέρου ‘τὸ βιβλίον διδάσκει, τὸ διδάσκον ἔμψυχον· τὸ βιβλίον ἄρα ἔμψυχον.‘ πάλιν ‘εἰ μηδεὶς τοῖχος ἀναπνεῖ ὅτι μὴ ζῶον, κἂν εἴ τι ζῶον, ἀναπνεῖ.‘ ἀλλὰ μὴν μύρμηκες καὶ μέλιτται καὶ τὰ ἕτερα ἔντομα καὶ ζῶα καὶ οὐκ ἀναπνεῖ. οὐκ ἄρα ὁ τοῖχος ὅτι οὐ ζῶον οὐκ ἀναπνεῖ, ἀλλ’ ὅτι οὐκ ἔχει πνεύμονα· τοῦτο γὰρ ἐγγύτερον. τοῦ δὲ δευτέρου, ὡς εἴ τις ἐρωτῴη ‘ὅσα τις μὴ ἔχει ἔχων πρότερον, ἆρα ἀποβέβληκε τοσαῦτα;‘ πῶς οὖν ἄν τις ἐνταῦθα ἀποκριθῇ καὶ μὴ ἐλεγχθῇ, ἔχει ἀπορίαν. ὅθεν ἐν τοῖς διαλεκτικοῖς οἱ δριμύτεροι λόγοι μᾶλλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζητεῖν ποιοῦσιν. ὡς ἂν δὲ περὶ αὐτῶν σαφέστερον εἴποιμεν, ἔστι διαλεκτικὸς λόγος δριμύτατος πρῶτος μὲν ὃς ἂν ἐξ ὅτι μάλιστα δοκούντων ὅτι μάλιστα ἔνδοξον ἀναιρῇ.

134 εἷς γὰρ ὢν ὁ τὴν ἀντίφασιν συνάγων συλλογισμὸς καὶ τὸ μὴ ἀγαθὸν ἀγαθὸν λέγων μετατιθεμένης τῆς ἀντιφάσεως ἅπαντας ὁμοίους ἕξει τοὺς συλλογισμούς· ἀεὶ γὰρ ἐξ ἐνδόξων ὁμοίως ἔνδοξον ἀναιρήσει ἢ κατασκευάσει, διόπερ ἀπορεῖν ἀναγκαῖον. μάλιστα μὲν οὖν ὁ τοιοῦτος δριμύτατος ὡς ἐξ ἴσου τὸ συμπέρασμα ποιῶν τοῖς ἐρωτήμασιν κατὰ τὴν δόξαν καὶ δυσφορώτατος, ὡς ὁ τοῦ Καλλικλέους ἐν τῷ Γοργίᾳ μᾶλλον τὴν ἀδικίαν τῆς δικαιοσύνης αἱρετωτέραν τιθέμενος τῷ τὴν μὲν φύσει εἶναι καὶ πρεσβυτέραν καὶ παρὰ τοῖς ἀλόγοις τὸ γενναῖον αὐτῆς ἐκλάμπειν, τὴν δὲ ὑστέραν τὴν δικαιοσύνην καὶ θέσει· θέσις γὰρ ὁ νόμος. καὶ ὁ ἐν τῷ Φαίδωνι τὴν ψυχὴν κατασκευάζων ἀθάνατον διὰ τὴν παλιγγενεσίαν καὶ τὸ ἐκ τῶν νεκρῶν τοὺς ζῶντας γίνεσθαι, τὸ δὲ ὅτι τὰ ἐναντία ἐκ τῶν ἐναντίων. δεύτερος δὲ ὁ ἐκ προτάσεων μὲν ὁμοίως ἐνδόξων, τὸ μέντοι συμπέρασμα ἔχων ἐνδοξότερον, ὃ δὴ καὶ ἀπαγωγὴν ἐκαλοῦμεν, ὡς ἡ ἀρετὴ διδακτόν, εἴπερ καὶ ἐπιστήμη. οὗτος γοῦν ὁμοίως ποιήσει ἀπορεῖν, ὁποῖον τῶν ἐρωτημάτων ἀναιρετέον. τοῦτο δὲ τῶν ἄλλων χαλεπόν. ὅτι μὲν γὰρ ἀναιρετέον, δῆλον· ὁπότερον δέ, εὑρεῖν οὐκ εὔπορον.

135 πλῆρες δὲ τῶν τοιού των συλλογισμῶν τὸ δεύτερον τῶν Μετὰ τὰ φυσικά. τῶν δὲ ἐριστικῶν δριμύτατος μὲν ὁ πρῶτον εὐθὺς ἄδηλος, πότερον συλλελόγισται ἢ οὔ, ὡς ὁ Παρμενίδειος (τὸ γὰρ εἶναι τὸ ὂν ἓν οὐκ ἐκ τῶν κειμένων, ἀλλ' ἔτι προσδεῖται ἔξωθεν, οἷον τὸ παρὰ τὸ ὂν οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν· τὸ γὰρ οὐδὲν ἓν παρῆκεν εἰπεῖν)· καὶ ἔτι πότερον παρὰ τὸ τὸ ψευδὲς ἀναιρῆσαι συμπέρασμα ἡ λύσις ἐστὶν ἢ παρὰ τὸ μίαν τῶν προτάσεων. δεύτερος δὲ ὁ δῆλος μὲν ὅτι παρὰ τὴν τῆς προτάσεως ἀναίρεσιν ἡ λύσις ἐστίν, μὴ φανερὸς δ' ὤν, διὰ τίνος ἀναίρεσιν τῶν ἠρωτημένων λυτέος ἐστίν. Ἐνίοτε μὲν οὖν ὁ μὴ συλλογισθεὶς λόγος εὐήθης ἐστίν, ἐὰν ᾖ λίαν ἄδοξα ἢ ψευδῆ τὰ λήμματα· ἐνίοτε δ' οὐκ ἄξιος καταφρονεῖσθαι. ὅταν μὲν γὰρ ἐλλείπῃ τι τῶν τοιούτων ἐρωτημάτων, περὶ οὗ ὁ λόγος, καὶ μὴ πάσας τὰς κατασκευαστικὰς προτάσεις ἔχῃ μηδὲ πλῆρες συλλογισάμενος, εὐήθης ἐστὶν ὁ συλλογισμός· ὅταν δὲ τῶν ἔξωθεν, οὐκ εὐκαταφρόνητος οὐδαμῶς, ἀλλ' ὁ μὲν λόγος ἐπιεικής, ὁ δὲ ἐρωτῶν ἠρώτησεν οὐ καλῶς. Ἔστι τε, ὥσπερ λύειν ὁτὲ μὲν πρὸς τὸν λόγον ὁτὲ δὲ πρὸς τὸν ἐρωτῶντα καὶ τὴν ἐρώτησιν ὁτὲ δὲ πρὸς οὐδέτερον τούτων, ὁμοίως καὶ ἐρωτᾶν ἔστι καὶ συλλογίζεσθαι καὶ πρὸς τὴν θέσιν καὶ πρὸς τὸν ἀποκρινόμενον καὶ πρὸς τὸν χρόνον παραιτούμενον, ὅταν ᾖ πλείονος δεομένη ἡ λύσις χρόνου ἢ τοῦ παρόντος. Ἐκ πόσων μὲν οὖν καὶ ποίων γίνονται τοῖς διαλεγομένοις οἱ παραλογισμοί, καὶ πῶς δείξομεν ψευδόμενόν τε καὶ παράδοξα λέγειν ποιήσομεν, ἔτι δὲ πρὸ τούτων ἐκ τίνων συμβαίνει ὁ διαλεκτικὸς συλλογισμὸς καὶ πῶς ἐρωτητέον καὶ τίς ἡ τάξις τῶν ἐρωτημάτων, ἔτι δὲ πρὸς τί χρήσιμοι πάντες εἰσὶν οἱ τοιοῦτοι λόγοι, καὶ ὡς οἱ μὲν διαλεκτικοὶ πρὸς εὕρεσιν τῆς ἀληθείας, οἱ δὲ σοφιστικοὶ πρὸς τὸ μὴ ἀπατᾶσθαι, καὶ περὶ ἀποκρίσεως ἁπλῶς τε πάσης καὶ πῶς λυτέον τοὺς λόγους καὶ τοὺς συλλογισμούς, εἰρήσθω περὶ ἁπάντων ἡμῖν ταῦτα.

136 λοιπὸν δὲ περὶ τῆς ἐξ ἀρχῆς προθέσεως ἀναμνήσασιν εἰπεῖν τι βραχὺ περὶ αὐτῆς καὶ τέλος ἐπιθεῖναι τοῖς εἰρημένοις. Προειλόμεθα οὖν δύναμίν τινα εὑρεῖν συλλογιστικὴν περὶ τοῦ προβληθέντος ἐκ τῶν ὑπαρχόντων ὡς ἐνδοξοτάτων· τοῦτο γὰρ ἔργον τῆς διαλεκτικῆς καθ' αὑτὴν καὶ πειραστικῆς. ἐπεὶ δὲ προκατασκευάζεται πρὸς αὐτὴν ἡ πειραστικὴ διὰ τὴν τῆς σοφιστικῆς γειτνίασιν, ὡς οὐ μόνον πεῖραν δύναται λαβεῖν διαλεκτικῶς ἀλλὰ καὶ ὡς εἰδώς, διὰ τοῦτο οὐ μόνον τὸ λεχθὲν ἔργον ὑπεθέμεθα τῆς πραγματείας, τὸ λόγον δύνασθαι λαβεῖν, ἀλλὰ καὶ ὅπως λόγον ὑπέχοντες καὶ ἐρωτώμενοι ὄντες φυλάξωμεν τὴν θέσιν ὡς δι' ἐνδοξοτάτων.

137

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν δὲ αἰτίαν εἰρήκαμεν τούτων· ὁ γὰρ διαλεκτικὸς ὥσπερ μὴ εἰδὼς ἐρωτᾷ. διὰ τοῦτο Σωκράτης διαλεκτικὸς ἄκρος ὢν ἠρώτα, ἀλλ’ οὐκ ἀπεκρίνατο· ὡμολόγει γὰρ οὐκ εἰδέναι. ὁ μέντοι σοφιστικὸς πάντα εἰδέναι ἐπαγγέλλεται πάντως καὶ ἃ δήπουθεν ἐρωτᾷ. οὐ προηγουμένως οὖν τῆς διαλεκτικῆς ἔργον περὶ ἀποκρίσεως πραγματεύεσθαι, ἀλλ’ ἢ διὰ τὴν τῆς σοφιστικῆς γειτνίασιν. δεδήλωται δὲ ἐν τοῖς πρότερον καὶ πρὸς πόσα καὶ ἐκ πόσων τοῦτο ἔσται (τέσσαρα γὰρ τὰ προβλήματα), καὶ πόθεν εὐπορήσομεν τούτων (οἱ δὲ ἦσαν οἱ τόποι οὓς ἐκδεδώκαμεν), ἔτι δὲ πῶς ἐρωτητέον ἢ τακτέον τὴν ἐρώτησιν πᾶσαν καὶ περί τε ἀποκρίσεων καὶ λύσεων τῶν πρὸς τοὺς συλλογισμούς. δεδήλωται δὲ καὶ περὶ τῶν ἄλλων, ὅσα τῆς αὐτῆς μεθόδου τῶν λόγων ἐστί. πρὸς δὲ τούτοις περὶ τῶν παραλογισμῶν διεληλύθαμεν, ὡς ἤδη εἰρήκαμεν. ὅτι μὲν οὖν ἔχει τέλος ἱκανῶς ἃ προειλόμεθα, φανερόν· δεῖ δὲ ὑμᾶς μὴ λεληθέναι τὸ συμβεβηκὸς περὶ ταύτην τὴν πραγματείαν. τῶν γὰρ εὑρισκομένων ἁπάντων τὰ μὲν παρ’ ἑτέρων ληφθέντα πρότερον πεπονημένα κατὰ μέρος ἐπιδέδωκεν ὑπὸ τῶν παραλαβόντων ὕστερον· τὰ δὲ ἐξ ἀρχῆς εὑρισκόμενα μικρὰν τὸ πρῶτον ἐπίδοσιν λαμβάνειν εἴωθεν, χρησιμωτέραν μέντοι πολλῷ τῆς ὕστερον ἐκ τούτων αὐξήσεως. μέγιστον γὰρ ἴσως ἀρχὴ παντός, ὥσπερ καὶ λέγεται· διὸ καὶ χαλεπώτατον. ὅσον γὰρ κράτιστον τῇ δυνάμει, τοσοῦτον μικρὸν ὂν τῷ μεγέθει χαλεπόν ἐστιν ὀφθῆναι. ταύτης δ’ εὑρημένης ῥᾷον προστιθέναι καὶ συναύ ξειν τὸ λοιπόν ἐστιν· ὅπερ καὶ περὶ τοὺς ῥητορικοὺς λόγους συμβέβηκε, σχεδὸν δὲ καὶ περὶ τὰς ἄλλας ἁπάσας τέχνας.

138 οἱ μὲν γὰρ τὰς ἀρχὰς εὑρόντες παντελῶς ἐς μικρόν τι προήγαγον· οἱ δὲ νῦν εὐδοκιμοῦντες παραλαβόντες παρὰ πολλῶν οἷον ἐκ διαδοχῆς κατὰ μέρος προσαγόντων οὕτως ηὐξήκασι, Τισίας μὲν μετὰ τοὺς πρώτους, Θρασύμαχος δὲ μετὰ Τισίαν, Θεόδωρος δὲ μετὰ τοῦτον, καὶ πολλοὶ πολλὰ συνενηνόχασι μέρη· διόπερ οὐδὲν θαυμαστὸν πλῆθός τι ἔχειν τὴν τέχνην. ταύτης δὲ τῆς ὅλης λογικῆς πραγματείας οὐ τὸ μὲν ἦν τὸ δ’ οὐκ ἦν προεξειργασμένον, ἀλλ’ οὐδὲν παντελῶς ὑπῆρχεν. καὶ γὰρ τῶν περὶ τοὺς ἐριστικοὺς λόγους μισθαρνούντων ὁμοία τις ἦν ἡ παίδευσις τῇ Γοργίου πραγματείᾳ· λόγους γὰρ οἱ μὲν ῥητορικοὺς οἱ δὲ ἐρωτηματικοὺς ἐδίδασκον ἐκμανθάνειν, εἰς οὓς πλειστάκις ᾠήθησαν ἑκάτεροι τοὺς ἀλλήλων ἐμπίπτειν λόγους. διόπερ ταχεῖα μὲν ἄτεχνος δ’ ἦν ἡ διδασκαλία τοῖς μανθάνουσι παρ’ αὐτῶν· οὐ γὰρ τέχνην ἀλλὰ τὰ ἀπὸ τῆς τέχνης διδόντες παιδεύειν ὑπελάμβανον, ὥσπερ ἄν τις ἐπιστήμην φάσκων παραδώσειν ἐπὶ τῷ μηδὲν πονεῖν τοὺς πόδας εἶτα σκυτοτομικὴν μὲν μὴ διδάσκῃ μηδ’ ὅθεν δυνήσεται πορίζεσθαι τὰ τοιαῦτα, δοίη δὲ πολλὰ γένη παντοδαπῶν ὑποδημάτων. οὗτος βεβοήθηκε μὲν πρὸς τὴν χρείαν, τέχνην δὲ οὐ παρέδωκε.

139 καὶ περὶ μὲν τῶν ῥητορικῶν ὑπῆρχε πολλὰ καὶ παλαιὰ τὰ λεγόμενα, περὶ δὲ τοῦ συλλογίζεσθαι παντελῶς οὐδὲν εἴχομεν πρότερον ἄλλο λέγειν ἀλλ’ ἢ τριβῇ ζητοῦντες πολὺν χρόνον ἐπονοῦμεν. εἰ δὲ φαίνεται θεασαμένοις ὑμῖν ὡς ἐκ τοιούτων ἐξ ἀρχῆς ὑπαρχόντων ἔχειν ἡ μέθοδος ἱκανῶς παρὰ τὰς ἄλλας πραγματείας τὰς ἐκ παραδόσεως ηὐξημένας, λοιπὸν ἂν εἴη πάντων ὑμῶν ἢ τῶν ἀκροωμένων ἔργον τοῖς μὲν παραλελειμμένοις τῆς μεθόδου συγγνώμην τοῖς δ’ εὑρημένοις πολλὴν ἔχειν χάριν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org